**480-481** cf. notationem ad vv. 43-44

---

LHHaV

heirm. ε΄ EE 226, nr. 323, Germani patriarchae

**481** νηστεῖαις L

Post vv. **480-483** HV hoc trop. add.: Τοὺς ὑπὲρ εὐσεβείας καταβαλλόμενος πόνους… (=Appendix II, vv. 75-78).

**484-487** om. HaV – **484** ἐξαγίας L

*Θεοτοκίον.*

492-495 **Τ**ῶν χερουβὶμ φανεῖσα
*τιμιωτέρα, παρθένε πανύμνητε …* = AHG II, XXXI, 106-109; AHG III, IV (2), 106-109 (Germani) et X, 132-135 (Methodii patriarcae); AHG VI, XXVIII, 86-89 (Germani); AHG VII, XIX, 89-92 (Germani) et XXVI, 61-64; AHG XII, XXVI, 65-68.

*Ὠιδὴ στ΄. Ἱλάσθητί μοι, σωτήρ,*
*πολλαὶ (γὰρ αἱ ἀνομίαι μου)*

**Τ**ὸν δρόμον σου τὸν καλὸν
τελέσας, Ἄτταλε ὅσιε,
μετῆλθες πρὸς τὸν Θεὸν
καὶ στέφος ἀμάραντον
παρ᾽ αὐτοῦ ἀπείληφας
καὶ ταῖς τῶν δικαίων
ὁμηγύρεσιν ἠρίθμησαι.

**Ἀ**γάπην πρὸς τὸν Θεὸν
καὶ τὸν πλησίον κτησάμενος,
ἐν ταπεινώσει ψυχῆς
ὁσίως διέλαμψας
καὶ νῦν τοὺς ἐν πίστει σοι
προσιόντας, μάκαρ,
θεραπεύεις θείᾳ χάριτι.

---

**496-500** cf. 2 Tim 4:7-8

---

**503-504** cf. notationem ad v. 139

---

LHHaV

heirm. στ΄ EE 220, nr. 315, Joannis monachi Damasceni

**500** ἀπήλειφας L – **501** δικαίων : δινῶν V – **502** ηρίθμεισας V

Post vv. **496-502** HHaV hoc trop. add.: Τὸν σκοτασμὸν τῶν παθῶν… (=Appendix II, vv. 79-85).

**503-509** om. Ha – **505-509** φυγαδευτὴς πονηρῶν πνευμάτων γεγένησαι καὶ φωστὴρ ἀκοίμητος καὶ θαυμάτων βρύσις, ἀξιάγαστε πατὴρ ἡμῶν H – **507** σοι om. V – **509** θεῖα L

**Κ**αὶ πρᾶος καὶ συμπαθὴς
καὶ μέτριος καὶ ἀκέραιος
καὶ κατὰ πάντα Θεοῦ
θεράπων δεικνύμενος,
σημείοις διέλαμψας
καὶ τερατουργίαις,
θεοφόρε ἀξιάγαστε.

*Θεοτοκίον.*

**Τ**ὸ σκήνωμα τοῦ Θεοῦ,
τὴν εὐδιάβατον κλίμακα,
τὸ ὄρος τὸ νοητόν,
τὴν ἔμψυχον τράπεζαν,
Μαρίαν τὴν ἄχραντον
ὡς Θεοῦ μητέρα
οἱ πιστοὶ ὑμνολογήσωμεν.

*Ὠιδὴ ζʹ. Τῶν Χαλδαίων ἡ κά(μινος)*

**Τ**ῷ πυρὶ τῶν ἀγώνων σου
τὰ πάθη καταφλέξας,
δροσισμῷ τῶν θαυμάτων σου
τὴν φλόγα καταπαύεις,
νοσημάτων χάριτι
f. 5v τοῦ ἐ/νεργοῦντος ἐν σοὶ
Ἁγίου Πνεύματος.

---

**514-515** cf. notationem ad v. 34

---

LHHaV

**510-516** om. V – **512** καταπάντα L – **514** σημεῖοις L

In vv. **517-523** HaV hoc trop. trad.: Ῥυσθείημεν τῶν δεινῶν πταισμάτων … (=Triod 337).

heirm. ζʹ EE 228, nr. 327, Andreae cretensis

**525** κατέφλεξας V

Post vv. **524-530** HHaV hoc trop. add.: Ῥάβδῳ πέτραν διέρρηξας… (=Appendix II, vv. 86-92).

**Π**ανταχόθεν συρρέουσι
πλήθη πολλά, παμμάκαρ,
ἐκτελέσαι τὴν μνήμην σου,
δοξάσαι τοὺς ἀγῶνας·
πάντας οὖν εὐλόγησον·
πᾶσι τῶν σῶν δωρεῶν
μετάδος, Ἄτταλε.

**Ἡ** ζωή σου ἀοίδιμος,
παμμάκαρ θεοφόρε,
καὶ ὁ θάνατος τίμιος
ἐνώπιον Κυρίου·
ἡ θήκη τοῦ σώματος
πηγὴ θαυμάτων κρουνοὺς
ἀναβλυστάνουσα.

*Θεοτοκίον.*

**Ὁ** Θεὸς ὁ ἀόρατος
ἐκ σοῦ ἡμῖν ὡράθη
σωματούμενος, ἄχραντε,
δι᾽ ἄκραν εὐσπλαγχνίαν·
τοῦτον οὖν ἱκέτευε
τῆς αἰωνίου ζωῆς
καταξιῶσαι ἡμᾶς.

---

**540-541** cf. Ps 115:6

---

LHHaV

**531-544** om. Ha – **532** πολλῶν V – **536** δορεών σου V – **538-544** om. V – **538** ζωῆ L – ἀοίδημος L – **543** κρουνοῦς L

Post vv. **538-544** H hoc trop. add.: Παρεστὼς τῷ ποιήσαντι… (=Appendix II, vv. 93-99).

**548** διάκραν L

*Ὠιδὴ η΄. Ὁ στεγάζων ἐν ὕδασιν*

**Π**ροσεδέξατο Κύριος
ὥσπερ θυμίαμα
τὰς εὐχάς σου, πάτερ· ὀσμὴ γὰρ ὤφθης
εὐωδίας Χριστοῦ,
ἔργα συντείνοντα
εἰς ὁδὸν σωτηρίας
ἐκτελέσας, Ἄτταλε θεόφρον,
τῆς ἐπουρανίου οἰκῆτορ βασιλείας.

**Ἐ**νεργεῖς τὰ τεράστια,
πάτερ, εἰς δόξαν Θεοῦ,
ἀνορθῶν χάριτι κατερραγμένους
καὶ διώκων μακρὰν
πνεύματα, Ἄτταλε,
πονηρίας· διό σε
συνελθόντες ἀνυμνολογοῦμεν
καὶ τὴν ἱεράν σου ἐπιτελοῦμεν μνήμην.

**Τ**οὺς ἐκ πίστεως, ὅσιε,
ἀθροιζομένους τῇ σῇ
παναγίᾳ μνήμῃ ἀμείβου θείαις
δωρεαῖς, τὸν Χριστόν,
Ἄτταλε ἔνδοξε,
ἱκετεύων παντοίων
ὀφλημάτων λύσιν πᾶσιν δοῦναι
καὶ αἰωνιζούσης τρυφῆς καταξιῶσαι.

**552-554** cf. Ps 140:2

LHHaV

heirm. η΄ EE 228, nr. 327, Andreae cretensis

**552** Πρὸς ἐδέξατο Ha – **554** ὀσμὴ L : ὡς μὴ Ha : ὡς μι V – **556** σὺν τείνοντα Ha : σιντίναντα V – **557** εἴσοδον H : είσοδον V – **559** ἐπ᾽οὐρανίου L – οἰκήτορ L – **560-575** om. V

Post vv. **552-559** HHaV hoc trop. trad.: Τὴν ὁδὸν τὴν εἰσάγουσαν… (=Appendix II, vv. 100-107).

**564** πν(εύμ)ατι Ha – **565** σε : σου Ha – **567** ἱεράν L – ἐπὶ τελοῦμεν Ha – **568-575** om. Ha – **570** θεῖαις L – **574** ὀφλημάτων L – **575** καταξιώσαι L

*Θεοτοκίον.*

**Τ**ὴν ἁγίαν γαστέρα σου
ὁ κατοικῶν οὐρανοὺς
κατοικήσας, σεμνὴ εὐλογημένη,
εὐσπλαγχνίᾳ πολλῇ
τῶν βροτῶν, ἄχραντε,
f. 6r συντριβεῖσαν τὴν φύ/σιν
ἀναπλάττει· ὅθεν ὡς αἰτίαν
πάντων τῶν καλῶν σε συμφώνως ἀνυμνοῦμεν.

*Ὠιδὴ θʹ. Τὸν προδηλωθέντα ἐν ὄρει*

**Ἱ**ερολογίαις ἐνθέοις
δεῦτε συμφώνως
εὐφημήσωμεν Ἄτταλον,
τὸ σκεῦος τὸ χωρῆσαν
τὰς τοῦ Πνεύματος φωταυγεῖς λαμπηδόνας
βίου θεαρέστου καθαρότητι.

**Ὥ**σπερ φωταυγὴς ἥλιος
κείμενος ἐν τάφῳ
ταῖς τῶν ἰαμάτων αὐγαῖς
φωτίζεις τοὺς ἐν πίστει
προσιόντας σοι, ἀπελαύνων τὸν ζόφον
τῶν ἀσθενειῶν, θεομακάριστε.

---

**589** cf. notationem ad vv. 43-44

---

LHHaV

**577** οὐ(ρα)νοῖς Ha – **579** πολλὴ L – **583** συμφῶνως L

heirm. θʹ EE 226, nr. 324, Germani patriarchae

**585** συμφῶνως L – **586** ὡς ευφυμίσωμεν V – **587** χωρῆσον Ha

**Σ**ῶμα καὶ ψυχὴν τῷ Θεῷ
σὺ καθιερώσας,
ὤφθης δεκτικὸς τῶν αὐτοῦ
ἁγίων χαρισμάτων·
διὰ τοῦτο σε συνελθόντες τιμῶμεν,
Ἄτταλε θεόφρον ἀξιάγαστε.

**Ἡ**μεροφαὴς ὡς ἀστὴρ
ἐν τῇ ἐκκλησίᾳ
ἀνατείλας, μακάριε,
φωτίζεις τὰς καρδίας
τῶν τελούντων σου τὴν φωσφόρον καὶ θείαν,
Ἄτταλε πατὴρ ἡμῶν, πανήγυριν.

*Θεοτοκίον.*

**Φ**εῖσαι ἡμῶν Κύριε
ὁ τεχθεὶς ἐκ παρθένου·
σῶσον τὰς ψυχὰς ἡμῶν
αὐτῆς ταῖς ἱκεσίαις,
τῶν κακῶν ἡμῶν παραβλέπων τὰ πλήθη
διὰ ὑπερβάλλουσαν χρηστότητα.

---

**596-597** cf. notationem ad vv. 43-44

---

LHHaV

**596** τῷ Θεῷ om. HaV – **602-607** om. V – **602** ὡς om. Ha – **606** τελοῦντων L – θεῖαν L

Post vv. **602-607** H hoc trop. add.: Φῶς σοι ἐξανέτειλεν, ὄντι δικαίῳ… (=Appendix II, vv. 108-113).

**608** ἡμῖν Ha

## 2
## In s. Nicephorum Patriarcham Constantinopolitanum

*Μηνὶ τῷ αὐτῷ β′: τοῦ ἁγίου Νικηφόρου, πατριάρχου Κωνσταντινουπόλεως.*

*Κάθισμα.*
*Ἦχος γ′. Πρὸς τὸ Θείας πίστεως ὁμο(λογίᾳ)*

1-7 **Λ**όγοις ἔστεψας τὴν ἐκκλησίαν …………… = PapKerSymb 338.

*Τὸ κονδάκιον.*
*Ἦχος α′. Πρὸς τὸ Χορὸς ἀγγελικὸς*

f. 6v 8-16 / **Χ**ορὸς πατριαρχῶν τὴν ἁγίαν σου μνήμην …
………………... = TRM σζ′; MV X, 5; Laur 112; LaurSymb 402.

*Ὁ οἶκος.*

17-35 **Ἀ**πὸ μητρὸς καθηγίασαι ὥσπερ πρότερον …
………………………… = LaurSymb 402; cf. PapKerSymb 339.

*Στιχηρά.*
*Ἦχος δ′. Πρὸς τὸ Ὡς γενναῖον ἐν μάρτυσιν*

36-46 **Ἀ**ληθείας ἑδραίωμα …………………………………….. = MV X, 4.
47-57 **Ἀ**ποστόλων διάδοχον ………………….......................... = MV X, 4.
f. 7r 58-68 / **Τ**ῆς σοφίας τὸ τάλαντον ………….......................... = MV X, 4.

*Ἄλλον.*
*Ἦχος πλ. α΄. Πρὸς τὸ Ὅσιε πάτερ θεοφό(ρε Θεοδόσιε)*

**Ὄ**ργανον θεῖον, ἐνηχούμενον τῷ Πνεύματι,
θεόφρον, ἀνεδείχθης τῇ ἐκκλησίᾳ Θεοῦ,
δογμάτων ἀκριβείᾳ καὶ διδαγμάτων
αἴγλῃ λαμπόμενος καὶ πᾶσι βοῶν
γλώσσῃ θεολόγῳ Χριστοῦ σεπτὴν εἰκόνα
τιμᾶν ἀπαύστως καὶ προσκυνεῖν,
τοῦ πρὶν μὲν ἄυλον φύσιν ὡς κεκτημένου,
ὕστερον ὕλῃ δὲ δι᾽ ἡμᾶς ἑνωθέντος,
καὶ περιγραφέσθω σαρκὶ ἀνασχομένου
δι᾽ ἀγαθότητα· αὐτὸν δυσώπει, ὅσιε,
τηρηθῆναι τοὺς παρεστῶτας
τῇ τιμίᾳ σου μάκαρ καὶ θείᾳ λάρνακι.

*Ἄλλον. Ἦχος ὁ αὐτός.*
*Πρὸς τὸ Χαίροις ἀσκητικῶν ἀληθ(ῶς)*

**Χ**αίροις, ὀρθοδοξίας κρηπίς,
τὸ νικηφόρον ἀληθείας ἑδραίωμα,
ἡ λύρα δογμάτων θείων, ἡ φωτοφόρος λαμπάς,

---

**69** cf. Greg. Naz., *Ad patrem*, PG 35.844A: *Ὀργανόν εἰμι θεῖον, ὄργανον λογικὸν, ὄργανον καλῷ τεχνίτῃ τῷ Πνεύματι ἁρμοζόμενον καὶ κρουόμενον* – **71** cf. PG 100, 73A: *Ἐπειδὴ δὲ τὸ εἰλικρινὲς τῆς ἑαυτοῦ ὀρθοτόμου πίστεως τοῖς τῶν Πατέρων ὅροις ἀκριβοῦν κατεπείγετο…* – **72-74** cf. PG 100, 84D-85C – **75-78** cf. PG 100, 105B-108A

---

L

heirm. stich. Ὅσιε πάτερ… MV V, 100 – **69-80** incipit stich. ed. in EfstrTam, 50 (1951) 245 (ex codd. Pc, f. 3v) – **71** ἀκριβεῖα L – **75** ἄϋλον L – **76** ἐνωθέντος L – **78** διαγαθότητα L – **80** θεῖα L

heirm. stich. Χαίροις ἀσκητικῶν ἀληθῶς… MV IV, 20 – **81-91** incipit stich. ed. in EfstrTam, 50 (1951) 245 (ex cod. S) – **82** ἀληθεῖας L – ἐδραίωμα L – **83** θεῖων L

ἡ φωτὶ τῷ θείῳ διαλάμπουσα,
ναὸς ζῶν καὶ ἔμψυχος, ἱερεὺς χριστομίμητος,
εὔσημος σάλπιγξ καὶ κιθάρα τοῦ Πνεύματος,
ὁ παμμέγιστος ποταμὸς ὁ τῆς γνώσεως,
στύλος φωτοειδέστατος, νεφέλη σκιάζουσα
τοὺς προσκυνοῦντας εἰκόνα τῆς σωτηρίου σαρκώσεως
Χριστοῦ, ὃν δυσώπει
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Τὸν Νικηφόρον ὡς νικηφόρον ἄσμασι μέλπω.*

f. 7v *| Θεοφάνους.*

*Ὠιδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέ(λαγος)*

92-97 **Τ**ὴν πρᾶξιν τῆς θεωρίας ἔδειξας ........................... = MV X, 4.
98-103 **Ὁ** λόγος ἠγλαϊσμένος πράξεσιν ........................... = MV X, 4.
104-109 **Ν**εκρώσας τὰ ἐπὶ γῆς φρονήματα ......................... = MV X, 5.
110-115 **Ν**οσήσας τοῦ Μαμωνᾶ τὴν αἵρεσιν ....................... = MV X, 4.
116-121 *Θεοτ.* **Ἰ**άσω τὴν συντριβήν, πανάμωμε ....................... = MV X, 5.

---

**86** cf. Ps 150:3 – **88** νεφέλη σκιάζουσα: cf. Matth 17:5; Marc 9.7; Luc 9:34

---

**85** cf. PG 100, 128A: …*τὸν διδάσκαλον Χριστὸν ἐν τούτῳ μιμούμενος*…

---

L

**85** ἱερεύς L – **86** σάλπιξ L

**Tit. kan**. Θ(εο)φά(νους) in marg. L : deest Pa(?)

vv. **104-109** ed. post vv. **110-115** in MV

*Ὠιδὴ γ′. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει*

122-127 **Κ**ατακοσμήσας ἀρετῶν ταῖς ἰδέαις …………………… = MV X, 5.
128-133 **Ἡ** θεορρήμων καὶ πυρίνη σου γλῶσσα ………………. = MV X, 5.
134-139 **Φ**ιλοσοφίᾳ τῆς σοφίας τὸ βάθος ……………………… = MV X, 5.
140-145 *Θεοτ.* **Ὁ**μολογοῦντες τὸν Πατρὶ πρὸ αἰώνων ……….. = MV X, 5.

*Ὠιδὴ δ′. Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

146-151 **Ῥ**ώμῃ τῇ θείᾳ τὰς μύλας, ἱεροφάντα ………………… = MV X, 5.
152-157 **Ὁ**μολογίᾳ τὴν θείαν ἱερωσύνην ……………………… = MV X, 5.
158-163 **Ν**εανικῶς προϊστάμενος, Νικηφόρε …………………. = MV X, 5.
164-169 **Ὡ**ς παράδεισον τὴν καρδίαν σου κεκτημένος ……… = MV X, 5.
170-175 *Θεοτ.* **Σ**εσαρκωμένον τὸν ἄσαρκον πρὶν τεκοῦσα …. = MV X, 5.

*Ὠιδὴ ε′. Σύ, Κύριέ μου, φῶς*

176-180 **Ν**οῦν ἔχων καθαρὸν …………………………………… = MV X, 5.
181-185 **Ἰ**άματα ψυχαῖς ……………………………………….. = MV X, 5.
186-190 **Κ**αὶ λόγον πρακτικόν ………………………………….. = MV X, 5.
191-195 *Θεοτ.* **Ἡ** λύσις τῆς ἀρᾶς ……………………………….. = MV X, 5.

*Ὠιδὴ στ′. Θύσω σοι μετὰ φωνῆς*

196-201 **Φ**ωσφόρος ταῖς ἀκτῖσιν ………………………………. = MV X, 5.
202-207 **Ὅ**λην σου τὴν ζωὴν τῷ Θεῷ …………………………. = MV X, 5.
208-213 **Ῥ**ήγνυσι τὰς πλοκὰς ………………………………….. = MV X, 5.
214-219 *Θεοτ.* **Ο**ἱ νόμοι παραδόξως ………………………… = MV X, 5-6.

*Ὠιδὴ ζ′. Ἐν τῇ καμίνῳ*

220-225 **Ν**αόν σε ζῶντα Θεοῦ τοῦ ζῶντος …………………… = MV X, 6.
226-231 **Α**ἱρετιζόντων τὰς γλωσσαλγίας …………………….. = MV X, 6.
232-237 **Σ**οφίας πλοῦτον καὶ πολιτείαν ……………………….. = MV X, 6.
238-243 *Θεοτ.* +**Μ**ὴ διαιροῦντες …+
f. 8r … / πανάμωμε δέσποινα. ……………………………… = MV X, 6.

---

**140-243** Ὁμολογοῦντες - …] πανάμωμε δέσποινα lac. L

*Ὠιδὴ η′. Παῖδας εὐαγεῖς (ἐν τῇ καμίνῳ)*

244-252 **Α**ἵματι Χριστοῦ λελυτρωμένος ……………………….. = MV X, 6.
253-261 **Σ**ῶμα καὶ ψυχὴν κεκαθαρμένος ……………………… = MV X, 6.
262-270 **Ἵ**να κληρουχίας οὐρανίου …………………………….. = MV X, 6.
271-279 *Θεοτ.* **Μ**όνην καθαρὰν ὁ καθαρός σε ……………….. = MV X, 6.

*Ὠιδὴ θ′. Λίθος ἀχειρότμητος ὄρους*

280-285 **Ε**ὗρες τὸ μακάριον τέλος ……………………………… = MV X, 7.
286-291 **Λ**άρνακα κυκλοῦντες τὴν θείαν …………………... = MV X, 7.
292-297 **Π**ᾶσαν ἀρετὴν ἐξασκήσας ……………………………. = MV X, 7.
f. 8v 298-303 / *Θεοτ.* **Ὡ**ς ῥίζαν, πηγὴν καὶ αἰτίαν ………………….. = MV X, 7.

*Ἕτερος κανὼν εἰς τὸν ἅγιον Νικηφόρον φέρων ἀκροστιχίδα τήνδε· τὸν πατριάρχην νῦν κροτῶ Νικηφόρον· <χωρὶς τῶν θεοτοκίων>).*

*Ὠιδὴ α′. Ἦχος γ′. Τῷ ρυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δου(λείας)*

**Τ**ὸν θεοφόρον ὡς νικηφόρον φανέντα
καὶ τὴν σεπτὴν κοσμήσαντα ἱεραρχίαν
ζήλῳ τῷ τῶν μαρτύρων Χριστοῦ
ἀνευφημήσωμεν ἐνθέοις ὕμνοις.

---

**305** cf. Latyšev II, 5:30-35: *…τοὺς τῆς ἐκκλησίας οἴακας ἀναδέχεται … καὶ τὴν ὁλκάδα ταύτης καλῶς διακυβερνῶν, ζηλωτός τοῖς πᾶσι καὶ ἐπέραστος ἦν, αὔξων μὲν ὁσημέραι τὸ ποίμνιον ποιμὴν ὡς ἄριστος καὶ καλῶς διεξάγων [καὶ] εἰς τόπον χλόης τοῦτο κατασκηνῶν τῶν ὀρθοδόξων δογμάτων καὶ ἐφ᾽ ὕδατος ἐκτρέφων καὶ ὁδηγῶν ἀναπαύσεως.* – **306** cf. Latyšev II, 6:15-16: *…καὶ θυμὸν βασιλέως καὶ κολαστήρια, ξίφη τε καὶ πῦρ καὶ θάνατον αὐτὸν παρ᾽ οὐδὲν θέμενος…*

---

L

**271** Μίαν ἐκλεκτὴν περιστεράν σε L

**Tit. kan.** κανῶν L

heirm. *α′* EE 78, nr. 110, Germani patriarchae

**Ὀ**λβιοτάτης φωτοχυσίας
θεοπρεπῶς λαμπόμενος, ἱερομύστα,
χρίσματι μυστικῷ τῆς σεπτῆς,
πάτερ, διέπρεψας ἱεροσύνης.

**Ν**ομοθεσίᾳ τῇ τοῦ σωτῆρος, θεόφρον,
ἐξ ἁπαλῶν τυπούμενος, πάτερ, ὀνύχων,
πράξει καὶ θεωρίᾳ, σοφέ,
θεοπτικότατος ἀπετελέσθης.

**Π**εποικιλμένος τῶν ἀρετῶν ταῖς ἰδέαις,
περιλαμπὴς γεγένησαι, ἱεροφάντορ,
κόσμος τῆς ἐκκλησίας Χριστοῦ,
θείαν εὐπρέπειαν ἡμῖν ἐκπέμπων.

*Θεοτοκίον.*

**Φ**αιδρυνομένη παρθενικαῖς ἀγλαΐαις,
μονογενὲς ἀπαύγασμα κατηξιώθης
δέξασθαι, θεομῆτορ ἁγνή,
τὴν ἐνυπόστατον Θεοῦ σοφίαν.

*Ὠιδὴ β΄. Πρόσεχε, οὐρανέ, καὶ λαλή(σω)*

**Ἀ**στέρα σε φανώτατον, πάτερ,
ἡ ἐκκλησία γνωρίζει τῶν δογμάτων.

---

**312-313** cf. Latyšev II, 5:10-13: *Ὁ τοίνυν θαυμαστὸς Νικηφόρος τοῖς τῆς ὀρθοδοξίας δόγμασιν ἐντραφεὶς καὶ τῷ τῆς εὐσεβείας γάλακτι πιανθείς, καλῶς τε παιδευθεὶς καὶ πᾶσαν γραφὴν τήν τε ἡμετέραν καὶ τὴν θύραθεν ἐπιμελῶς διελθών…*; SynaxEC 723:20-724:7: *…ὁ τίμιος Νικηφόρος τοῖς τῆς ὀρθοδοξίας σπαργάνοις ἐξ αὐτῆς λοχίας ἐνειλίσσεται καὶ εὐσεβείας γάλακτι ἐκτρέφεται καὶ τὸ νηπιῶδες παραμειψάμενος καὶ καλῶς παιδευθεὶς…*

---

L

**312** Ὁλβιοτάτης L – **313** ἐξαπαλῶν L – **316** εἰδέαις L – **317** γεγέννησαι L – **323** ἐνύπόστατον L

heirm. β΄ EE 78, nr. 110, Germani patriarchae

**Τ**ίμιος ἱεράρχης ἐδείχθης,
ὁμολογίᾳ φαιδρύνας τὴν στολήν σου.

**Ῥ**έοντες ποταμοὶ τῶν σῶν λόγων
Θεοῦ τὴν πόλιν εὐφραίνουσι τρισμάκαρ.

**Ἵ**λεον τὸν Χριστὸν νῦν παράσχου
f. 9r ταῖς σαῖς πρεσβεί/αις τῇ ποίμνῃ σου, θεόφρον.

*Θεοτοκίον.*

**Σ**έσωσται ἐκ φθορᾶς τοῦ θανάτου
φύσις ἀνθρώπων τῷ τόκῳ σου, παρθένε.

*Ὠιδὴ γ΄. Ἐστερεώθη ἡ καρδία μου*

**Ἀ**κτινοβόλοις τῆς σοφίας σου λαμπηδόσιν
τὴν ἀχλὺν διέλυσας, Νικηφόρε,
τὴν τῶν βλασφήμων αἱρέσεων, παμμακάριστε.

---

**326** cf. notationem ad v. 305 – **327** cf. vv. 151-152: *Ὁμολογίᾳ τὴν θείαν ἱερωσύνην περιφανῶς ἐφαίδρυνας…* (Theophanis; MV X, 5) – **329** Θεοῦ τὴν πόλιν] cf. PG 100, 132D: *Χαῖρε καὶ σύ, Θεοῦ μεγαλόπολι…* – **334-336** cf. PG 100, 69B-C: *…Διεξοδικώτερον τοιγαροῦν τὰ τῆς αὐτῶν ἀτόπου θρησκείας δι᾽ ἐγγράφου τόμου τῷ βασιλεῖ γνώριμα καταστήσας, καὶ ὡς τῷ κοινῷ παντὶ γαγγραίνης δίκην λώβην παρέξοντα (εἰ ἐπιπλεῖον συγχωρηθεῖεν πράττειν, ἃ βούλοιντο) δι᾽ ἐντεύξεως ἐνδειξάμενος, βάλλει μὲν τὴν Ἰουδαϊκὴν Κυριοκτονίαν, βάλλει δὲ καὶ τὴν τῶν Φρυγῶν τερατώδη ἐρεσχελίαν, τιτρώσκει δὲ τὴν Μανιχαϊκὴν ὀνείρωξιν, ὡς μηδὲ χειλέων ἐκτὸς τὰ ἑαυτῶν ἄγῃ προέρχεσθαι, ἐν ἀπορρήτῳ δὲ καὶ παραβύστῳ τὰ τῆς ἀπάτης αὐτῶν ὑπολαλεῖσθαι ληρήματα. Τὸ γὰρ παρρησιάζεσθαι ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένοι, εἰς τὸ μηδὲ λαθραίως τι ποιεῖν οἱ δυσσεβεῖς περιέστησαν…*

---

L

**329** εὐφραίνουσιν L

heirm. γ′ EE 78, nr. 110, Germani patriarchae

**335** ἀχλῦν L – **336** αἰρέσεων L

**Ῥ**ώμῃ τῇ θείᾳ κραταιούμενος, Νικηφόρε,
τὸν τῆς νίκης στέφανον ἀνεδήσω,
τὰς θεομάχους φάλαγγας τροπωσάμενος.

**Χ**ῦμα σοφίας δεξάμενος, ἱεράρχα,
καὶ καρδίας πλάτος καὶ νοημάτων,
αἱρετιζόντων ἀσέλγειαν κατεδίκασας.

*Θεοτοκίον.*

**Ν**όμου τὸ τέλος, τὸν σωτῆρα, κυοφοροῦσα,
σὺ τῆς Εὔας, πάναγνε, τὴν κατάραν
εἰς εὐλογίαν μετέβαλες, ἀειπάρθενε.

*Ὠιδὴ δʹ. Τὴν ἀκοήν σου, Κύριε, εἰσακήκοα καὶ (ἐφοβήθην)*

**Ἡ** μυστική σου μάχαιρα
θείου Πνεύματος τῇ ἐξουσίᾳ
διέκοψεν δυναστῶν σαφῶς ἐν ἐκστάσει
τὰς κεφαλὰς τῶν βλασφήμων δογμάτων,
ἱεράρχα θεόφρον,
ἀξιομακάριστε.

---

**343** Νόμου … τέλος] Rom 10:4 – **344** Εὔας … κατάραν] cf. Gen 3:16 – **343-345** cf. AHG VI, XVII, 121-124 (kanon in sanctum Theodorum Tichonem): *Τὴν τῆς Εὔας κατάραν μετέβαλες, μῆτερ ἀειπάρθενε, τῷ ξένῳ τόκῳ σου πρὸς εὐλογίαν ἔνθεον καὶ τὸν κόσμον ἐφαίδρυνας χάριτι.* – **346-347** cf. Eph. 6:17

---

**339, 342** cf. notationem ad vv. 334-336 – **346-349** cf. PG 100, 76A: *…λόγος αὐτῷ βιωφελὴς μαχαίρας τομώτερος ταῖς φρεσὶν ἀπῃώρητο, τῶν τὰ θεῖα τυραννεῖν ἠρημένων ἐκκόπτων ἐπιεικῶς τὰ φρονήματα…*

---

L

**337** θεῖα L – **341** πλᾶτος L – **342** αἰρετιζόντων L

heirm. δʹ EE 79, nr. 111, Germani patriarchae

**346** μυστικῆ L – **347** θεῖου L - **348** ἐνεκστάσει L

**Ν**ενευρωμένος, ὅσιε,
τῇ δυνάμει τοῦ Παρακλήτου,
συνέθλασας τὰς τοῦ λέοντος, πάτερ, μύλας,
τοῦ τὴν σεπτὴν τοῦ σωτῆρος εἰκόνα
τῶν ἁγίων τε πάντων
ἀφρόνως ἀθετήσαντος.

**Ν**εανικὴν τὴν ἔνστασιν
θεομάχοις, πάτερ, ἐπεδείξω,
φραξάμενος τῇ τῆς χάριτος πανοπλίᾳ
καὶ τμητικῇ τῶν σῶν λόγων ῥομφαίᾳ
τῆς σεπτῆς ἐκκλησίας
ἐξέτεμες, πανάριστε.

*Θεοτοκίον.*

**Ἵ**να κατάραν, δέσποτα,
τῆς προμήτορος ἐξαφανίσῃς
τὴν ἄχραντον κατεσκήνωσας θεοτόκον,
ἐξ ἧς σαρκὶ ἑνωθεὶς ἀσυγχύτως
f. 9v ἐν τῷ κόσμῳ / προῆλθες
εἰς τὸ συναμφότερον.

---

**354** cf. Ps 57:7 – **358-359** cf. AHG XI, IX, 15-17 (Joannis, in sanctas martyres Agnetem et Luciam): *Νεανικὴν ἔνστασιν ἐπιδειξάμεναι, αἱ ἀθλοφόροι…* – **364-365** κατάραν … τῆς προμήτορος] cf. Gen 3:16

---

**354-357** cf. PG 100, 85C-112A –**358-359** cf. supra, vv. 157-158: *Νεανικῶς προϊστάμενος, Νικηφόρε, τῶν εὐσεβῶν δογμάτων…* (Theophanis, MV X, 5) – **358-363** cf. Latyšev II, 6:15-19: *…καὶ θυμὸν βασιλέως καὶ κολαστήρια, ξίφη τε καὶ πῦρ καὶ θάνατον αὐτὸν παρ᾽ οὐδὲν θέμενος ὁ σοφὸς βάλλει τὸν τύραννον ἀγχεμάχοις ὅπλοις, τοῖς θεοσόφοις λόγοις, καὶ στηλιτεύει· καὶ μέντοι δὴ καὶ τρέπει τοῦτον εἰς κράτος καὶ γέλωτα πᾶσι τίθησιν.* – **367** cf. ConChal 2.1.2, p. 129; ConConHier, vol. 3, p. 6 – **369** cf. ConEph 1.5.1, p. 230

---

**359** θεομάχους L – **361** ῥομφαῖα L – **367** ἐνωθεὶς L – **369** εἲς L

*Ὠιδὴ ε΄. Ὀρθρίζοντες ἀνυμνοῦμεν σε, Λόγε*

**Ὑ**πέμεινας τὰς πικρὰς ἐξορίας,
τοῦ παραδείσου τῆς τρυφῆς
ἐπιθυμίᾳ συσχεθείς,
ἧς ἐπέτυχες σαφῶς,
μὴ κωλυόμενος
τῷ τῆς γνώσεως ξύλῳ.

**Ν**οθεύσαντες τῆς σεπτῆς ἐκκλησίας
τὰς παραδόσεις καὶ Χριστοῦ
τὸν χαρακτῆρα τὸν σεπτὸν
ἀτιμάσαντες δεινῶς,
τοῖς σοῖς ἐλέγχονται
οἱ ἀλάστορες λόγοις.

**Κ**ατέλαμψας τῶν πιστῶν τὰς καρδίας
ταῖς σαῖς, θεόφρον, διδαχαῖς·
τῶν δυσσεβούντων δὲ τὸν νοῦν

---

**371-372** cf. Gen 3:23 – **375** cf. Gen 2:9, 16-17

---

**370** cf. PG 100, 129A-133B; SynaxEC 725:5-17: *…Ὁ δὲ θεομισὴς παραυτὰ καθελὼν αὐτὸν τοῦ θρόνου καὶ ὑπερορίσας, τῇ εἰρκτῇ ἐναπορρίψας, μηδεμιᾶς παραμυθίας παρὰ οἱουδήποτε προστάττει τοῦτον μεταλαχεῖν· καὶ οὕτω διήρκεσεν ὁ γεννάδας ταλαιπωρούμενος, μέχρις ἂν ὁ δείλαιος οὗτος τὴν ψυχὴν ἐναπέρρηξεν, ὑπὸ τῶν οἰκείων μαχαίραις μεληδὸν κατακοπεὶς ἐν τῷ τοῦ Φάρου ναῷ. Ὁ δὲ μακάριος οὗτος χρονίαις ταλαιπωρίαις καταπονηθεὶς ἑβδομηκοστόν που χρόνον πληρώσας εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα παρέθετο, ἐννέα μὲν ἐν τῇ ἀρχιερωσύνῃ διατελέσας χρόνους, τρεισκαίδεκα δὲ ἐν τῇ ἐξορίᾳ…*; Menol 485A-B: *…Καὶ διήρκεσε μέχρι τῆς βασιλείας Λέοντος τοῦ Εἰκονομάχου· ὑφ᾽ οὗ καὶ ἐξορισθεὶς, καὶ εἰς φυλακὴν ἐμβληθεὶς, πρὸς Κύριον ἐξεδήμησεν…* – **381** cf. notationem ad vv. 357-362 – **382-383** cf. PG 100, 153C: *…ἐκ τοῦ θησαυροῦ τῆς ἑαυτοῦ θεοπλούτου σοφίας βιωφελῆ ἐπιφθεγξάμενος λόγια, καὶ στηρίξας ὡς ἐξ ἄρτου πνευματικοῦ τὰς τῶν πιστῶν ἐπαϊόντων καρδίας…*

---

L

heirm. ε΄ EE 78, nr. 110, Germani patriarchae

**373** ἧς L – **377** παραδώσεις L – **384** δυσσεβοῦντων L

ἀπημαύρωσας σαφῶς
ταῖς λαμπροτάταις σου
ἀστραπαῖς τῶν δογμάτων.

*Θεοτοκίον.*

**Δ**εδώρηται τῶν ἀνθρώπων τῇ φύσει
ἡ εὐλογία διὰ σοῦ,
θεογεννῆτορ, ἀληθῶς·
σὺ γὰρ τέτοκας ἡμῖν
τὸν στεφανοῦντα νῦν
τοὺς πιστῶς σε τιμῶντας.

*Ὠιδὴ στʹ. Τοὺς εἰς τὰ τέλη τῶν αἰώ(νων)*

**Ῥ**ωμαλαιότητι, θεόφρον,
διανοίας ἐξεφαύλισας
τῶν θεομάχων τὰς ὁρμὰς
καὶ δογμάτων τὴν σαθρότητα
κραυγάζων ἀνενδότως·
«σῶσον, σωτήρ, τοὺς προσκυνοῦντας
πιστῶς σὴν εἰκόνα».

**Ὀ**λικωτάταις προθυμίαις
τοῦ ποιμνίου, πανσεβάσμιε,
προκινδυνεύων, τῶν θηρῶν
τὰς ἐφόδους ἀπεδίωξας,

---

**402-404** cf. PG 100, 117C: …[Nicephoros] *τοῖς προλαβοῦσι εἰς ἀπολογίαν χρησάμενος, ἤδη δὲ καὶ τὴν νόσον ἔχων συνήγορον, τοῦ πρὸς διάλεξιν συνελθεῖν τοῖς ἀνιέροις ἀπείπατο. Οὐ γάρ, φησὶ, ποιμὴν προβάτων ἔρημος πρὸς λύκους ὁπλίζεται, οὐδὲ τῆς ἑαυτοῦ σωτηρίας μόνον προμνώμενος θηριομαχεῖν κατεπείγεται· ἀλλ᾽ ἢ πρὸς μάνδραν ἀσφαλῆ τὸ ποίμνιον σφραγισάμενος, καὶ φόβον οὗ ἐστι φόβος μακρὰν ἀπωσάμενος, οὕτω πρὸς τὰ τῶν λύκων συμφράττεται θήρατρα…*

---

L

**390** θεογεννῆτωρ L

heirm. στʹ EE 78, nr. 110, Germani patriarchae

**396** ὁρμὰς L

βοῶν ἀδιαλείπτως·
«σῶσον, σωτήρ, τοὺς προσκυνοῦντας
πιστῶς σὴν εἰκόνα».

**Τ**ῷ τῆς σοφίας σου πελάγει
τοὺς τριστάτας κατεπόντισας
τῆς ἀσεβείας καὶ Χριστοῦ
τὴν εἰκόνα προσεκύνησας,
τιμῶν τε καὶ κραυγάζων·
f. 10r «σῶ/σον, σωτήρ, τοὺς προσκυνοῦντας
πιστῶς σὴν εἰκόνα».

*Θεοτοκίον.*

**Π**αρθενικῶν σου ἐξ αἱμάτων
περιβόλαιον ἐξύφανεν
καὶ περιθέμενος, ἁγνή,
ἀδιάσπαστον καθ᾽ ἕνωσιν,
ὁ πάντων εὐεργέτης
σώζει ἀεὶ μητέρα σε
τοῦ Θεοῦ τοὺς φρονοῦντας.

*Ὠιδὴ ζ΄. Τὴν ἐν καμίνῳ φλόγα*
*κατέσβεσαν οἱ παῖδες*
*καὶ τὴν οὐράνιον δρόσον*
*ἐδέξαντο τῇ πίστει.*

**Ὡ**ραϊσμένος τῷ κάλλει
τῷ τῆς ὀρθοδοξίας,
τὴν ἐκκλησίαν, θεόφρον,
ἐφαίδρυνας ἐνθέως.

---

L

**405** ἀδιαλήπτως L – **410** ἀσεβεῖας L – **412** τὲ L – **418** καθἕνωσιν L –

heirm. ζ΄ EE 77-78, nr. 109, Andreae Cretensis – πίστει· [εὐλογητὸς εἶ ὁ Θεὸς / ὁ τῶν πατέρων ἡμῶν] EE

**Ν**ενικηκότα τὸ ψεῦδος
αἱρέσεων, τρισμάκαρ,
τῆς εὐπρεπείας σε στέφει
ὁ Χριστὸς ἀγλαΐζει.

**Ἱ**ερωμένος, πάτερ,
ὑπάρχων τῷ δεσπότῃ,
ζωὴν πανίερον ἔσχες,
Νικηφόρε θεόφρον.

*Θεοτοκίον.*

434-437 **Π**αρθενομήτωρ ὤφθης,
ἀσπόρως συλλαβοῦσα …………… = AHG XII, XI, 119-122.

*Ὠιδὴ η΄. Τὸν ἐξ ἀνάρχου τοῦ πατρός γεννηθ(έντα)*

**Κ**αταλαμπρύνας εὐπρεπῶς
λαμπροτάτῃ πολιτείᾳ τὸν σόν,
θεόφρον, βίον, τῆς ἱεραρχίας
μύρῳ κατηγλάισαι

---

**428-429** cf. 2 Tim 4:8

---

**426-427** cf. notationem ad vv. 334-336 – **438-441** cf. PG 100, 61B-69A; Latyšev II, 5:20-30: …*Καὶ ἦν μὲν οὕτω βιοὺς ὁ ἀνὴρ μάλα φιλοθέως καὶ εὐπρεπῶς. ἐπεὶ δὲ κρύπτεσθαι τοῦτον τοσοῦτον ὄντα καὶ τοιοῦτον τὴν ἀρετὴν τῶν ἀδυνάτων ἦν καὶ ἀπόρων, τί γίνεται; τοῦ τῆς ἐκκλησίας ποιμένος ἄρτι τὸν βίον ἀλλάξαντος καὶ πρὸς τὰς σκηνὰς τὰς αἰωνίους ἀπάραντος —Ταράσιος ἦν ὁ σοφός— καὶ τῆς ἐκκλησίας τὸν ἄξιον ζητούσης τοῦ θρόνου καὶ καλῶς ποιμάναντα τὸ ποίμνιον, ὁ καλὸς Νικηφόρος, ἐν τοῖς ἁπάντων κείμενος στόμασι, τοῖς ἄλλοις οὐ συνηριθμεῖτο μὲν οὕτως ἁπλῶς, προετίθετο δὲ καὶ πρόκριτος αὐτῶν κατὰ πολὺ πρὸς τὴν τοιαύτην ἀρχὴν ἐψηφίζετο. τῷ τοι καὶ βιασθεὶς παρά τε τῶν ἐκκρίτων τοῦ βήματος παρά τε τοῦ κρατοῦντος αὐτοῦ, τοὺς τῆς ἐκκλησίας οἴακας ἀναδέχεται…*

---

L

**427** αἰρέσεων L – **428** εὐπρεπεῖας L – **437** πανύμνητε παρθένε L : παρθένε παναγία AHG

heirm. η΄ EE 79, nr. 111, Germani patriarchae

**441** κατηγλάϊσαι L

καὶ βέλος ὡς ἐκλεκτὸν
τὰς καρδίας τῶν ἐχθρῶν
τιτρώσκεις, Νικηφόρε,
κράζων· «προσκυνεῖτε
Χριστοῦ τὸν χαρακτῆρα».

**Ἡ** παρρησία σου, σοφέ,
καὶ τῶν λόγων ἡ λαμπρότης τῶν σῶν
καὶ ἡ ἀνδρεία τῆς ὑπομονῆς σου
πάσας ἐτροπώσατο,
παμμάκαρ θεόληπτε,
τῶν ἐχθρῶν τὰς προσβολάς,
ἐνθέως μελῳδοῦσα
καὶ ὑπερυψοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

**Φ**ρενοβλαβοῦντες ἐμμανῶς
καὶ δεινῶς ἐκκεκομμένοι τὸν νοῦν
ταῖς διδαχαῖς σου ταῖς ἱερωτάταις
δείκνυνται οἱ ἄφρονες,
εἰκόνα τὴν ἄχραντον
ἀθετοῦντες τοῦ Χριστοῦ,
f. 10v ἣν πάντες προσκυ/νοῦντες
σέβομεν ἐνθέως,
Χριστὸν ὑπερυψοῦντες.

**Ὁ**μολογίας ἀκραιφνοῦς
ταῖς λαμπραῖς κεκοσμημένος στολαῖς,
φωτὶ τῷ πρώτῳ καὶ τελειωτάτῳ,
πάνσοφε, παρίστασαι,

---

**456-459** cf. PG 100, 129A et 148D-149A; Latyšev II, 6:19-21: *…ἔνθεν τοι καὶ μὴ φέρων ὁ ἔχθιστος τὴν τοσαύτην αἰσχύνην εἰς τοσοῦτον ἐξεκυλίσθη μανίας καὶ θράσους, ὡς καὶ τοῦ θρόνου τοῦτον καταβιβάσαι καὶ ὑπερορίᾳ καταδικάσαι…*

---

L

**449** ἀνδρεῖα L – **462** ἥν L

μεθέξει φῶς δεύτερον
γεγονὼς ὡς ἀληθῶς,
κραυγάζων· «εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας».

*Θεοτοκίον.*

**Ὑ**πὸ τὴν σκέπην σου, ἁγνή,
νῦν προστρέχω τῶν πταισμάτων σειραῖς
κατεσφιγμένος· τῇ σῇ εὐσπλαγχνίᾳ
λῦσον με, πανάμωμε·
τὸν ῥύστην γὰρ τέτοκας,
τὸν σωτῆρα τοῦ παντός,
τὸν ὄντως εὐεργέτην,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ θʹ. Σὲ τὴν ἀκατάφλεκτον βάτον*
*καὶ ἁγίαν παρθένον*
*τὴν μητέρα τοῦ φωτὸς καὶ θεοτόκον*
*τὴν ἐλπίδα πάντων ἡμῶν μεγαλύνομεν.*

**Ῥ**ῆμα τοῦ Θεοῦ κατοικῆσαν
ἐν σοί, πάτερ, πλουσίως,
τῶν δογμάτων τὰς πηγὰς καὶ διδαγμάτων
ἀναβλύζει πᾶσιν ἡμῖν, ἱερώτατε.

**Ὅ**λην τὴν τοῦ Πνεύματος χάριν
εἰσδεξάμενος, πάτερ,
κατεφώτισας ἡμᾶς ταῖς διδαχαῖς σου,
Νικηφόρε, πάντων πιστῶν ἐγκαλλώπισμα.

---

L

**470** γεγονῶς L – **471-473** εὐ(λ)ο(γεῖτε) καὶ υπ(ερυψοῦτε – αἰῶνας) L – **477** λύσον L – **481-482** ὃν υπ(ερυψοῦμεν – αἰῶνας) L

heirm. θʹ EE 79, nr. 111, Germani patriarchae – μ(ε)γ(αλύνωμεν) L

**Ν**ῦν οὐκ αἰνίγματι, πάτερ,
κατοπτεύεις τὰ θεῖα,
παρηγμένης τῆς σκιᾶς καὶ τῶν ἐσόπτρων,
ἀλλὰ πλήρης θείου φωτὸς ἀπολαύεις Χριστοῦ.

*Θεοτοκίον.*

**Ν**όμου τὸ κατάκριμα λύων,
ἐκ γαστρός σου προῆλθεν
ὁ τοῦ νόμου ποιητής· καὶ σέ, παρθένε,
προστασίαν πάντων ἡμῶν ἀπειργάσατο.

---

**491-494** cf. 1 Cor 13:12 – **495** cf. Rom 8:1-2

---

L

**491** οὐκαινίγματι L – **493** σκιὰς L – **494** θεῖου L

## 3
## In s. Lucillianum martyrem

*Μηνὶ τῷ αὐτῷ γ′ τοῦ ἁγίου μάρτυρος Λουκιλλιανοῦ.*

*Κάθισμα.*
*Ἦχος α′. Πρὸς τὸ Τὸν τάφον σου, σωτήρ*

1-11 **Π**υρὶ προσομιλῶν …
f. 11r ... ἁγί/ων· μεθ᾽ ὧν ἡμῶν μνήσθητι. …….. = MV X, 8.

*Ἄλλον.*
*Ἦχος δ′. Πρὸς τὸ Ταχὺ προκατ(άλαβε)*

**Τ**ῇ ἄνωθεν χάριτι
ὀχυρωμένος τὸν νοῦν,
γενναίως ἐχώρησας
πρὸς συμπλοκὴν τοῦ ἐχθροῦ
καὶ τοῦτον κατέβαλες·

---

**12-13** cf. *AASS* Iunii, III, 277C: *…ταῖς θείαις θεωρίαις τὸν νοῦν ἐλλαμπόμενος…*

---

LHGSbPaVASeVb (et in vv. 12-22 O)

**tit**. Μη(νὶ) τὼ αὐτ(ω)· εις τ(ην) γ´ τοῦ ἀγ(ιου) μαρτ(υ)ρ(ος) τουκηλλησνοὺ καὶ τὶν σιν αυτὸν V : Τῶ αὐτῶ μηνὶ γ′· τοῦ αγ(ίου) μ(ά)ρ(τυρος) λουκιλιαννοῦ Se

**1-11**. Πυρὶ - μνήσθητι : post odem γ′ GSbPaASeVb

Post vv. **1-11** Pa synaxarion trad.. Inc.: Οὗτος ὁ ἅγιος μάρτυς Λουκιλλιανὸς ἦν κατὰ τοὺς χρόνους Αὐρηλιανοῦ… Des.: ἐτελειώθη σὺν τοῖς παισί, τὸν αὐχένα ἐτμήθη καὶ τὸν τῆς μαρτυρίας ἐκομίσατο στέφανον (cf. *SynaxEC* 725-728; MV X, 8-9).

Post **tit**. A hoc trop. trad.: *Στιχηρά. Ἦχος δ′. Ὡς γενναῖον (ἐν μάρτυσιν).* Τὸ τῆς πλάνης ἀσύστατον τοῦ ἑστῶτος σοὶ γέγονεν…, Τειρουργίᾳ τῆς χάριτος τὰ κρυφῇ ὑποσμήχοντα…, Τῶν ἀνθρώπων τῆς φύσεως ὁ εἰδὼς τὴν ἀσθένειαν… (=Appendix III, vv. 1-33).

heirm. kath. PaAD, 419-420 – **12-22** incipit ed. in EfstrTam, 50 (1951) 250 (ex codd. P, f. 106r; S) – **12-22** Τῇ ἄνωθεν – πολύαθλε deest GSbPaVSeVb

ὅθεν πρὸς τοῦ δεσπότου
νίκης ἦρας βραβεῖα,
πνεύματα ἀπελαύνειν
καὶ ἰᾶσθαι τὰς νόσους
τῶν πίστει προστρεχόντων σοι,
μάρτυς πολύαθλε.

*Τὸ κονδάκιον.*
*Ἦχος γ΄. Πρὸς τὸ Ἡ Παρθένος σήμερον*

**Τ**ῶν μαρτύρων ἔλαμψεν
ἡ θεία μνήμη·

---

**17-21** cf. *AASS* Iunii, III, 285C: … [Λουκιλλιανὸς] *τὸ ἄμισθον ἰατρεῖον, ἐν ᾧ οἱ καταφεύγοντες, τὴν λύσιν τῶν νοσημάτων κομίζονται, τὸ πέλαγος τῶν ἰαμάτων, ἐν ᾧ βυθίζεται πᾶσα τῶν παθημάτων ἐπίῤῥοια, ἡ πηγὴ τῶν θαυμάτων, ἐξ ἧς ἡ ῥῶσις τῶν ψυχῶν καὶ σωμάτων ἀφθόνως προέρχεται, ὁ μυστικαῖς ἐπιστασίαις τὰς τῶν κρυφίων παθῶν ἀλγηδόνας ταχέως ἀπαλλάσσων, τῶν δεινῶς ὑπ᾽ αὐτῶν κατατρυχομένων, ὡς ταύτην ἀντίδοσιν τῆς τῶν οἰκείων παθῶν ἀλγηδόνος παρὰ τοῦ τῶν ὅλων Θεοῦ τὴν χάριν κομισάμενος, ἡ στήλη τῶν τοῦ Χριστοῦ Μαρτύρων, ὁ ἐμὸς ἐν κινδύνοις προασπιστὴς, καὶ ἐν ἀσθενείαις παρήγορος, καὶ τῶν πολυτρόπων νοσημάτων ἀναψυχή…*; PLuc 18: *…μεγαλοψύχως ἐγκαρτερῶν καὶ εὐχαριστῶν ἐνδόξως παρετίθει τῷ θεῷ καὶ τὸ πνεῦμα, τρίτην ἰουνίου τηνικαῦτα προσαναβαίνοντος, οὐκ ὀλίγον καὶ τότε τῆς ἐκ τῶν θαυμασίων λειψάνων χάριτος καὶ δυναστείας θαυματουργοῦ τῆς θεραπείας τετυχηκότων καὶ δαψιλεστέρας εἰς ἀεὶ καρπουμένων καὶ τὰς αἰτήσεις καὶ κρυφίων ἀπόθεσιν παθημάτων κομιζομένων τῇ τε προσελεύσει τούτων καὶ ἐπιψαύσει τῆς δι᾽ αἵματος τῶν νηπίων ἠρυθρωμένης κίονος πᾶσαν τὴν ἐν νεφροῖς ἀνίαν καὶ παντοίαν ἄλλην κάκωσιν ἀποτιθεμένων καὶ τὴν δυσχέρειαν…*; PLucil 28: *…Καὶ νῦν ἡ τοιούτων σορὸς κοινός ἐστι τῶν ἀγαθῶν θησαυρός, παθῶν ἁπάντων ἀλεξητήριον, ἄφθονος πηγὴ τῶν ἰάσεων χάριν παντοδαπὴν ἀναβλύζουσα καὶ τοῖς προσιοῦσι μετὰ δαψιλείας παρέχουσα…*

---

LHGSbPaVASeVb (et in vv. 12-22 O)

**18** ἤρας L – **20** ἱᾶσθαι L : ἱᾶσθε p.c. O (ex ἱάσθε) – **21** πρὸστρ[ε]χόντων O – **22** πολλύαθλε L

heirm. kont. Grosdidier de Matons, *Hymnes* III, 50 – **23-48** Τῶν μαρτύρων - πανένδοξοι deest HGSbPaVASeVb – **24** θεῖα L

In vv. **23-48** Pa hoc kontakion and oikos trad.: *Κοντάκιον. Ἦχος β΄. Τοὺς ἀσφαλ(εῖς καὶ θεοφόρους κήρυκας).* Τοὺς εὐσεβεῖς τῆς ἀληθείας μάρτυρας... *Ὁ οἶκος.* Φῶς νοερὸν Θεοῦ Πατρός, Λόγε… (=Appendix III, vv. 34-50).

In vv. **23-48** Vb hoc kontakion and oikos trad.: *Κοντάκιον.* Τοὺς τὴν θείαν μνήμην σου, μάρτυς, τελοῦντας… (=TRM II σζ’). *Οἶκος.* Τῇ ἀγαπήσει τοῦ Χριστοῦ πυρποληθείς, παμμάκαρ… (=Appendix III, vv. 51-60).

ὥσπερ ἄστρον ἔκλαμπρον
φωταγωγεῖ τοὺς ἐν σκότει,
φέροντας
τῆς εὐωδίας ἄθλων τὰ ἄνθη,
τρέφον τε
τῆς εὐφροσύνης πιστοὺς τῷ λόγῳ·
διὰ τοῦτο τιμῶμεν
τὴν θείαν μνήμην ὑμῶν, πανένδοξοι.

*Ὁ οἶκος.*

**Τ**ῶν τελούντων ὑμῶν
ἐνθέως ἀνατέταλκε ἐκ λαγόνων τῆς γῆς,
δεῦτε πάντες ἀρύσασθε, παράδοξον θαῦμα
ἀφράστου σοφίας·
πῶς ἐν ὑλώδει τόπῳ κατέκειτο
ἀκτὶς μὴ ὑποδύουσα·
πῶς ἐν ἀβάτῳ γῇ ἐγκαθίδρυται
ἄδυτος φωστήρ,
φθορᾶς ἀμέτοχον
μὴ ἐμφανίζων
ἀστέρων αἴγλη
τοὺς προσιόντας ἐπ᾽ αὐτοὺς
ἐκκαθαρθέντες τοὺς πολλὰ
διὰ τοῦτο πρὸς τοῦτο συνελθόντες.

*Ἀνακλώμενον*: Διὰ τοῦτο τιμῶμεν
τὴν θείαν μνήμην ὑμῶν, πανένδοξοι.

---

**25-26** cf. Matth 4:16; Luc 1:79; Is 58:10

---

LHGSbPaVASeVb

**26** φωταγωγὴ L – **32** θεῖαν L – **36** ἀρρύσασθε L – **37** ὑλώδη L – **38** ὑποδύουσαι L – **39** ἐνκαθήδρυτε L – **43** αἴγλη L – **47-48** Ἀν(ακλώμενον): Διὰ τοῦτο τιμῶμεν· τὴν θ(είαν – πανένδοξοι) rubr. in L

*Στιχηρά.*

*Ἦχος α΄. Πρὸς τὸ Πανεύφημοι μάρτυρες, (ὑμᾶς)*

49-58 **Τ**ῶν κυριοκτόνων σε δεινοὶ ………………….. = MV X, 7.
59-68 **Π**αῖδες οἱ πανίεροι πατρὶ …………………….. = MV X, 7.
69-78 **Ἰ**άσεων νάματα ἡ σὴ …
f. 11v … ἀ/ναπηγάζει ἑκάστοτε…….................... = MV X, 7.

*Ἄλλον.*

*Ἦχος πλ. α΄. Πρὸς τὸ Ὅσιε πάτερ (θεοφόρε Θεοδόσιε)*

**Ἔ**νδοξε μάρτυς, ἐφαπλούμενα θεώμενος
τὰ θήρατρα τῆς πλάνης καὶ εἰς ἀπώλειαν
ψυχὰς συλαγωγοῦντα τοῦ πονηροῦ ταῖς ἐπιθέσεσι,
μανίᾳ δεινῇ πτέρυγας
καθάπερ ὄρνις λαβὼν ἐξ ὕψους,
ἐπάνω τούτων θεοπρεπῶς ἀνεπετάσθης καὶ ὤφθης
ἄτρωτος, μάκαρ,
καὶ κατεσκήνωσας μονὰς τὰς ἀκηράτους,
δόξης πληρούμενος καὶ χαρμονῆς ἀρρήτου,
Χριστῷ δεόμενος, Χριστὸν ἐξιλεούμενος
καταπέμψαι τῇ οἰκουμένῃ
ὁμόνοιαν, εἰρήνην καὶ μέγα ἔλεος.

---

LHGSbPaVASeVb

Ante tit. stich. Se trad.: Εἰς τὸ Κύριε Ἐκέκραξα στιχηρὰ προσόμοια.

vv. **69-78** ante vv. **59-68** in V

Post stich. Sb hoc trop. trad.: Ἀθλοφόρε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν παράσχει ταῖς ψυχαῖς ἡμῶν (cf. HAD, 485).

heirm. stich. Ὅσιε πάτερ MV V, 100 – **79-90** incipit ed. in EfstrTam, 50 (1951) 250 (ex cod. S) – **79-90** Ἔνδοξε - ἔλεος deest GSbPaVASeVb – **82** δεινὴ L – **83** καθά[περ] lac. L – λαβῶν L – **84** τοῦτων L – θεοπ[ρε]πῶς lac. H – **85-86** μά[καρ, καὶ] lac. H – **86** τὰς : πρὸς H – **87** δόξη[ς πλ]ηρούμενος lac. H – **88** Χριστῷ : χ(ριστο)υ H – **89-90** καταπέμψαι τῇ οἰκουμένῃ· ὁμονοίας εἰρήνην καὶ μέγα ἔλεος H : καταπέμψαι· ταῖς ψυχαῖς ἡμῶν δ(ιὰ σοῦ τὸ μέγα ἔλεος) L (cf. MV V, 100: δωρηθῆναι τῇ οἰκουμένῃ ὁμόνοιαν, εἰρήνην καὶ μέγα ἔλεος)

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Λουκιλλιανῷ τούσδε τοὺς κρότους φέρω. Ἰωσήφ.*

*Ἰωσήφ.*

*Ὠιδὴ α′. Ἦχος α′. Σοῦ ἡ τροπαιοῦχος δε(ξιὰ)*

**Λ**όγον, ὃν ἐνώπιον ἐθνῶν
θεοφορούμενος, μάκαρ, ἐκήρυξας,
τοῦτον ἐκδυσώπησον
λόγον ἡμῖν δωρήσασθαι τὴν θείαν σου
ἄθλησιν ὑμνῆσαι
καὶ τὰ γενναῖα παλαίσματα.

**Ὅ**λον σου τὸν πόθον εἰς Θεὸν
ἀποκενώσας νοὸς καθαρότητι,
ἅπασαν ἐμίσησας
εἰδωλικὴν δυσσέβειαν, λαμπόμενος
θείαις ἀγλαΐαις,
θεόφρον μάρτυς πανόλβιε.

---

**91-96** cf. *AASS* Iunii III, 276F: *…ἐπὶ τὸν τοῦ λόγου πάροχον Θεὸν ἐλπίσας, καὶ τὴν τοῦ ἐγκωμιαζομένου πρεσβείαν σύνεργον γενέσθαι καθικετεύσας, προθύμως ἐμαυτὸν πρὸς τὸν ἀγῶνα φέρων τῶν λόγων ἐπέδωκα…* – **91-92** cf. *AASS* Iunii, III, 279B-280E

---

LHGSbPaVASeVb

**tit. kan**. εἰς τὸν ὄρθρον κανόν(ες) τῆς ηήχου καὶ τοῦ ἁγ(ΐου)· οὗ ἡ ἀκρ(οστιχίς)· λουκιλλιανῶ τούσδε τοὺς κρότους φέρω Se : ὁ κα(νὼν) οὗ ἡ ἀκρο(στιχίς) HVb : † ὁ κανῶν· οὗ ἡ ἀκροστιχῆς· Sb – Ἰωσήφ[1] om. LHSbASe – Ἰωσήφ[2] deest SbSeVb : in marg. LHA

Incipit kanonis ed. in EfstrTam, 50 (1951) 251 (ex cod. G)

heirm. *α′* EE 1, nr 1, Joannis monachi

**91** ὂν L – **94** θεῖαν L – **97** τὸν : πρὸς H – **98** ἀποκαινώσας L – καθαρότητα Se – **99** ἐμίσησας : εμίωσας V – **100** εἰδωλικὴν : είδωλοικὴν ἐβδελίξω Vb – δυσσέβειαν : ἀσέβειαν Se – **101** θεῖαις L – **102** πανόλβιε : πολύαθλε PaSbSe

**Ὑ**πῆλθες μαρτύρων τοὺς στερροὺς
γενναιοφρόνως ἀγῶνας, πανόλβιε,
καταμηνυόμενος
καὶ ταῖς χερσὶν ἀνόμων προδιδόμενος
ὑπὸ Ἰουδαίων,
Χριστὸν ἐν τούτῳ μιμούμενος.

**Κ**ριὸς ὡς ἐπίσημος ἀχθεὶς
ἐθελουσίως, παμμάκαρ, τοῦ θύεσθαι,
θῦμα εὐωδέστατον
τῷ ποιητῇ τῶν ὅλων προσενήνεξαι
καὶ τρυφῆς τῆς ἄνω
μαρτύρων κλέος ἠξίωσαι.

---

**106-107** cf. *AASS* Iunii, III, 278F: *…τῷ τυραννοῦντι δῆλος καθίσταται, πρός τινος Ἑβραίου τῷ γένει καταμηνυθεὶς…*; PL 188:19-28: *…Ἰουδαῖος δέ τις ὀνόματι Συμεών, γνοὺς ὅτι ἔξω τῆς πόλεώς ἐστιν ὁ ἅγιος Λουκιλλιανὸς μετὰ καὶ ἑτέρων πολλῶν χριστιανῶν, ἐκτήσατο ἑαυτῷ μισθὸν ἀδικίας· καὶ προσελθὼν τῷ κόμητι εἶπεν· «Ἔστι χωρίον ἀπὸ μιλίων δύο ὅπου ἐστὶν ὁ Λουκιλλιανὸς ὃν ζητεῖς, κύριέ μου, μετὰ ὀνομάτων ἑβδομήκοντα· εἰ οὖν δοκεῖ σοι, ἀπόστειλον μετ᾽ ἐμοῦ στρατιώταις ἑβδομήκοντα καὶ συλληψόμεθα αὐτόν.» Σιλβανὸς δὲ ὁ κόμης ἀκούσας καὶ καθοπλίσας στρατιώταις ἑκατὸν πεντήκοντα ἀποστέλλει μετὰ τοῦ Συμεὼν καὶ συνέλαβον τὸν μακάριον Λουκιλλιανὸν μετὰ καὶ τῶν ἀδελφῶν πάντων καὶ ἄγουσιν αὐτοὺς ἐν τῷ πραιτωρίῳ τοῦ κόμητος Σιλβανοῦ…*; PLuc 10: *…ἀνήρ τις τὸ γένος μὲν Ἰουδαῖος, ἀκολούθως δὲ καὶ τὸν τρόπον φαῦλος καὶ μοχθηρός —Συμεὼν οὗτος ὠνόμαστο— καταμηνύει Λουκιλλιανὸν τῷ δικάζοντι τόπον ἀνειπὼν δυσὶ μιλίοις διεστηκότα τοῦ ἄστεως καὶ αὐτὴν προσεπιθεὶς τὴν ἐνέργειαν ὅτι καὶ ἐξώλειαν ἐπαρᾶται θεῶν καὶ βασιλέως ὁ πάντολμος καὶ θεσπισμάτων κατακωμᾶται βασιλικῶν…*; PLucil 20: *…Ἰουδαῖος τοίνυν ἀνήρ —Συμεώνης τούτῳ τὸ ὄνομα— μὴ λανθάνουσαν ἔχων τὴν ἐν τῷ λεληθότι τῶν ἁγίων διατριβὴν δῆλα τῷ κόμητι πάντα ποιεῖ, ὡς οὐ πόρρω τε Λουκιλλιανὸς διάγοι τῆς πόλεως καὶ ὡς μεθ᾽ ἑτέρων ἀνδρῶν ἑβδομήκοντα τὸν ἀριθμὸν ἀποκρύπτοιτο καὶ ὡς εὐχερὴς τούτων βουλομένῳ πάντως ἡ σύλληψις…*

---

LHGSbPaVASeVb

**103** Ὑπῆλθες : Ἀπῆλθες Se – στερροῦς L : χωροὺς V – **106** ταῖς : ἐν A – **107** ὑπο ἰουδαῖων L – **108** τούτου Pa – **112** προσὲνήνεξεν V : προσενήνοχας Vb – **114** ἠξίωσας Vb

f. 12r / *Θεοτοκίον.*

Ἴασαι τὰ πάθη τῆς ἐμῆς,
παρθενομῆτορ, καρδίας καὶ ἄφεσιν
αἴτησαι δοθῆναί μοι
ἁμαρτιῶν, ὧνπερ ἀφρόνως ἔπραξα,
ὅπως σε δοξάζω,
ταῖς σαῖς πρεσβείαις σωζόμενος.

*Ὠιδὴ γ΄. Ὁ μόνος εἰ[δὼς] τῆ[ς τῶν βροτῶν]*

Λαμπτὴρ ἀνεσπέρου φωτισμοῦ
πληρούμενος γεγένησαι
ταῖς φωταυγέσι, μάρτυς, σου λάμψεσι,
καταφωτίζων κόσμου τὰ πέρατα·
διὰ τοῦτο πίστει σου
τὴν φωσφόρον κοίμησιν
ἱεραῖς μελῳδίαις δοξάζομεν.

---

LHGSbPaVASeVb

**115-120** om. V – **116** παρθενομήτορ L – **118** ὧν περ L – **120** πρεσβεῖαις L

heirm. γ΄ EE 1, nr 1, Joannis monachi

**121-127** om. PaV – **121-122** φ[ωτισμοῦ πληρούμεν]ος lac. L - γεγέννησαι L – **123** φωταυγ[έσι μάρτυς σου λάμψε]σι lac. L – **124-125** τ[ὰ πέρατα διὰ τοῦτ]ο lac. L – **126-127** [κοίμησιν ἱεραῖς μελω]δίαις lac. L

Λοιμῶν ἐν καθέδρᾳ μὲν τὸ πρὶν
ἐκάθισας κυκλούμενος,
πολυθεΐας σκότει, ἀοίδιμε,
φωτὶ δὲ θείῳ καταστραπτόμενος,
τὸν Θεὸν ἐπέγνωκας
καὶ ὡς μέγας ἥλιος
ἐναθλήσας, ἐγνώσθης τοῖς πέρασιν.

«Ἰσχύς μου καὶ ὕμνησις Χριστός»·
τυπτόμενος ἐκραύγαζες
καὶ ἐκ τεσσάρων, μάρτυς, τεινόμενος·
«αὐτοῦ τῷ πόθῳ ψυχὴν συνέδησα,
τοῖς αὐτοῦ παθήμασι
συμμορφοῦμαι χάριτι·
σὺν αὐτῷ γὰρ ἐκεῖ δοξασθήσομαι».

**Ἄ**σπιλον τηρήσας τὴν ψυχὴν
τυπτόμενος, ἀοίδιμε,
χάριν ἐξ ὕψους θείαν ἀπέλαβες
πληγὰς ἰᾶσθαι καὶ παύειν τραύματα
καὶ κουφίζειν, ἅγιε,
ἄλγη πονηρότατα
τῶν πιστῶς προσιόντων σοι πάντοτε.

**135-141** cf. PL 189:28-32: *…Σιλβανὸς ὁ κόμης λέγει· «Ἐκδύσατε αὐτὸν καὶ διατείνατε ἐκ τεσσάρων καὶ τύπτετε αὐτὸν ῥάβδοις καὶ λέγετε αὐτῷ· μὴ ὕβριζε τοὺς θεούς.» Ὡρῶν δὲ δύο διελθουσῶν καὶ ἀτονησάντων τῶν τυπτόντων αὐτόν, Σιλβανὸς εἶπεν· «Οὐδέπω ᾔσθου τῶν βασάνων;»…* [cf. PLuc 14, capitulum 7, et PLucil 23, capitulum 7] – **144-148** cf. notationem ad vv. 17-21

LHGSbPaVASeVb

**128** Λοιμὼν Pa : Λοιμὸν SeVb : Λιμὸν V – ἐν καθέδρᾳ μὲν : ἐκκαθέδραμε Vb – μεν L : με Vb – [τὸ πρὶν] lac. L – **129** [ἐκάθισ]ας lac. L – κυκλούμενον p.c. Vb (ex κλούμενον) – **130** σκό[τει ἀοίδιμε] lac. L – ἀείδημε PaAVb – **131** θεῖω L – καταστραπτούμενος V – **135** χ(ριστ)έ HA – **138** ψυχῶν σου ἔδισαν V – συνέδυσας Se : συνέδησας Vb – **139** τοῖς ἑαυτοῦ H – **141** συν L – **142** Ἄσπηλον L – τηρήσασα Se – **143** ἀείδημε A : ἀοίδημε Vb – **144** ἐξύψους L – θεῖαν L – **145** ἰάσασθαι Se – καὶ om. Se – **146** κουφύζις V : κουφίζων Vb – **147** πονηρώτατα L

*Θεοτοκίον.*

**Ν**έον ὥσπερ βρέφος τὸν παντὸς
αἰῶνος παλαιότερον
κυοφορεῖς, ἡμᾶς ἀναπλάττοντα,
παλαιωθέντας ταῖς παραβάσεσι,
παναγία ἄχραντε·
ὅθεν σε γεραίρομεν
εὐχαρίστοις ἀεὶ μελωδήμασιν.

*Ὠιδὴ δʹ. Ὄρος σε τῇ χάριτι τῇ θ(είᾳ κατάσκιον)*

**Ὠ**ράθης, παμμάκαρ, ἀντιστρόφως κρεμάμενος
f. 12v / καὶ αἰκισμοῖς ἀνηλεῶς
περικυκλούμενος πολλοῖς,
ἀκλόνητος, ἄσειστος
πρὸς οὐρανὸν τὴν σὴν πορείαν ποιούμενος·
μεγαλοφώνως διό σε δοξάζομεν.

---

**149-150** cf. Dan 7:22 – **149-152** cf. AHG III, XXXIV, 173-178 (Josephis, in sanctum Philippum apostolum): *Νέον ἐπὶ γῆς τὸν πρὸ αἰώνων βρέφος, παρθένε, ἐκύησας νεοποιοῦντα ἡμᾶς πάλαι κακίᾳ δεινῶς παλαιωθέντας…*; AHG IX, XIV, vv. 153-156 (Theophanis?, in sanctam Glyceriam): *Νέον φέρουσα βρέφος τὸν πρὸ πάντων αἰώνων Θεόν, πανάμωμε, ἐκ σοῦ σωματωθέντα…*

---

**156** cf. Menol 485 et *AASS* Iunii I, 274: *…ἐκρεμάσθη κατὰ κεφαλῆς ἐπὶ ξύλου…*; PLuc 18: *…τὸν δὲ τελειοῦσι σταυρῷ κατὰ τὸ ἀντίστροφον προσαρτήσαντες…*; SynaxEC 726, vv. 21-22 et MV X, 8: *…κατὰ κεφαλῆς κρεμᾶται…*

---

LHGSbPaVASeVb

**149** τοῦ Se – **152** παλαιωθέντα SbSeVb – τοῖς Vb – **154** σὲ L

Post odem γʹ Se hoc heirmos trad.: Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν… (= EE 1, nr. 1).

heirm. δʹ EE 1, nr 1, Joannis monachi

**156-161** om. V – **156** κρεμμάμενος L – **160** πορεῖαν L – **161** μεγαλοφῶνως L : μεγαλοφρόνως Se

**Τ**ίμιος ἐνώπιον ὁ σὸς ὤφθη θάνατος
τοῦ ποιητοῦ ἡμῶν Θεοῦ,
τοῦ σὲ τιμήσαντος πολλαῖς
θαυμάτων λαμπρότησι,
θαυματουργέ, μαρτύρων κλέος καὶ καύχημα,
τῶν ἀσωμάτων ἀγγέλων συνόμιλε.

**Ὄ**λβιος παντοίαις λαμπρυνόμενος χάρισιν,
ἐναπεφάνθης καθειρχθείς,
ἐν φυλακῇ δὲ φωτισμοῦ
ἁγίου μετέδωκας
θείοις παισίν, μεθ᾽ ὧν ἀθλήσας λαμπρότατα
δικαιοσύνης στεφάνους ἀπέλαβες.

**Ὑ**πῆρξας τελείῳ, ἀθλοφόρε, φρονήματι
παίδων ἁγίων ὁδηγός,
τούτους πρὸς τρίβους ἀπλανεῖς
εἰσάγων τοῖς λόγοις σου,
μεθ᾽ ὧν καλῶς ἠγωνισμένος ἀπέλαβες
τὴν βασιλείαν τὴν ὄντως γηθόμενος.

---

**162-163** cf. Ps 115:6 – **173** cf. 2 Tim 4:8

---

**164-165** cf. notationem ad vv. 17-21 – **170-172** et **174-175** cf. *AASS* Iunii, III, 281A-283A; PL 190:14-23; PLuc 15, capitulum 8; PLucil 24-25, capitulum 8

---

LHGSbPaVASeVb

**163** π[οιητοῦ ἡμῶν Θεοῦ] lac. L – **164-166** σ[ὲ - θα]υματουργέ lac. L – **166-167** κ[λέος - τ]ῶν lac. L – **167** τῶν - συνόμιλε om. A : σ[υνόμιλε] lac. L – vv. **168-173** ante vv. **162-167** in V trad. – **168** Ὄλβι[ος παντοίαις λαμπρυ]νόμενος lac. L – **169** ἐναπεφ[άνθης καθειρχθείς] lac. L – ἐναπεφάνεις Sb : ἐνἀπεφάνης Se – **170** φυλακὴ L : φυλακήν V – φωτισμὸν Vb – **171-172** ἁγί[ου μετέδωκας θ]είοις lac. L – **172** παισὶ HSbSeVb – μεθῶν L – λ[αμπρότατα] lac. L - **173** στεφάνοις L – **174** Ὑπήρξας L – τελεῖω L – **178** μεθῶν L – **179** βασιλεῖαν L – τὴν ὄντως : τὴν ἄνω HSbPaVASeVb

*Θεοτοκίον.*

**Σ**ὲ μόνην πασῶν ἐκ γενεῶν ἐξελέξατο
καὶ κατεσκήνωσεν ἐν σοὶ
ὁ τῶν αἰώνων ποιητής·
αὐτὸν οὖν ἱκέτευε
ὡς ἀγαθόν, θεοχαρίτωτε δέσποινα,
τοῦ ἐλεῆσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

*Ὠιδὴ ε΄. Ὁ φωτίσας*
*τῇ ἐλλάμψει (τῆς σῆς παρουσίας, Χριστὲ)*

**Δ**εσμούμενος
διὰ Κύριον, μάρτυς πολύαθλε,
ἐδέσμευσας
τοῖς δεσμοῖς σου τοῦ σκότους τὸν ἄρχοντα·
ὅθεν πάντα σύνδεσμον
χάριτι θείᾳ διαλύεις
ἀρρωστημάτων, πανόλβιε.

---

**189** cf. Eph 6:12

---

**180-182** cf. Gregorius Thaumaturgus Neocaesariensis, *In annuntiationem sanctae virginis Mariae*, PG 10, 1148: *Πρεπόντως ἄρα τὴν ἁγίαν Μαριὰμ ἐκ πασῶν γενεῶν μόνην ἡ χάρις ἐκλέλεκται…;* ChrMytCal, p. 450, vv. 94-97: *Μόνην πασῶν ἐκ γενεῶν σε ἐξελέξατο ὁ ὕψιστος δεσπότης…* – **182** cf. ConEph 1.1.5, p. 63)

---

LHGSbPaVASeVb
**180** ἐκ om. Vb – **182** ποιητῆς L – **185** ὑμνοῦντας L : ἀνυμνοῦντας Se
heirm. ε΄ EE 1, nr 1, Joannis monachi
**187** πολλύαθλε L – **191** θεῖα L – **192** πανόλβιοι V

**Ἐ**πίπροσθεν
σὺν παισὶν ἱεροῖς παριστάμενος,
μακάριε,
παρανόμων ἀνδρῶν ἐν τῷ κρίνεσθαι
πᾶσαν κατεκρίνατε
des.12v τὴν ἀθεΐαν θείοις λόγοις, /
Θεὸν κηρύττοντες ἄναρχον.

**Τ**ετράριθμον
θείων παίδων ὑμνήσωμεν σύστημα,
Ὑπάτιον,
Διονύσιον, Παῦλον καὶ Κλαύδιον,
καὶ ἀνευφημήσωμεν
Λουκιλλιανὸν τὸν γενναῖον,
τῆς ἀληθείας τοὺς μάρτυρας.

*Θεοτοκίον.*

**Ὁ** Κύριος
μετὰ σοῦ, παναγία, γενόμενος,
ἐρρύσατο
πάντα κόσμον ἐχθροῦ κυριεύοντος·

---

**207-208** cf. Luc 1:28 – **210** cf. Ioh 12:31, 16:11

---

**193-199** cf. *AASS* Iunii, III, 283B: *…Ἤγετο οὖν ὁ μέγας τῆς εὐσεβείας συνήγορος, στρατιωτῶν χερσὶν ἐπισπουδόμενος, παρείποντο δὲ καὶ οἱ τρισμακάριοι παῖδες, αὐτόκλητοι, πνευματικῇ στοργῇ συνδούμενοι, καὶ σὺν αὐτῷ τοὺς ἀγῶνας προθύμως ὑπελθεῖν ἐφιέμενοι. Καὶ ἐπεὶ πρὸς τὸν τυραννοῦντα ἐγένοντο· Τίνες οὗτοι; τοὺς παῖδες θεασάμενος ὁ Ἡγεμών, ἀνηρώτα. … Ὁ δὲ* [εἶπεν τῷ Ἡγεμόνι] … *Παρεστήκασι δέ σοι, οὐκ ἐκμειλίξασθαι βουλόμενοι, ὡς σὺ ἔφης, ἀλλὰ τὴν σὴν διελέγξαι νηπιόφρονα γνώμην, τῇ ἀνδρειοτάτῃ αὐτῶν συνέσει καὶ τελειοτάτῃ εἰς Χριστὸν πίστει, ὅπως γνῷς τὴν αὐτοῦ δύναμιν, ὁποίαν σύνεσιν κἂν τοῖς νηπίοις ἐντίθησιν…* [cf. PL 190:26-191:17; PLuc 15-16, capitulum 9; PLucil 25-26, capitulum 9]

---

L (vv.193-198) HGSbPaVASeVb

**193** Ἐπίπροστεν Vb – **194** συν L – παισὶν : πᾶσιν H : πάσιν A – ἱερεῖς ASe – **196** παρανόμος V – **198** θεῖοις L – **199-399** lac. L – **201** σύστημα : σὺ στόμα V – **204** ἀνεὐφήμησον Vb – **205** Λουκιλλιανὸν : λουκιανὸν τε Vb – **206** τῆς : τοὺς V – **210** κόσμου Vb

ὅθεν ἱκετεύω σε
ὑπὸ παθῶν κυριευθεῖσαν
νῦν τὴν καρδίαν μου λύτρωσαι.

*Ὠιδὴ Ϛ΄. Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*

**Ὑ**ψώθης ἐν σταυρῷ τοῖς ἴσοις πάθεσι
τοῦ κτίστου σεμνυνόμενος,
προσηλώθης γὰρ τὸ σῶμα ἐν αὐτῷ,
ἔνδοξε, ὀξέσιν ἥλοις πάντοθεν,
καταπατῶν
τοῦ διαβόλου κέντρα ἐν χάριτι.

**Σ**τερρῶς ὑπὲρ Χριστοῦ ἀγωνισάμενοι
οἱ παῖδες οἱ πανόλβιοι,
ἀπετμήθησαν ὁμοῦ τὰς κεφαλάς,

---

**214-217** cf. *AASS* Iunii, III, 285A: *…Ὁ δὲ μακάριος Λουκιλλιανὸς, καὶ αὐτὸς κατὰ τὴν φρενοβλαβοῦς τυράννου πρόσταξιν σταυρῷ προσηλωθεὶς, καὶ ἥλοις ταῖς τε χερσὶ καὶ τοῖς πόσιν,* (sic) *οὐ μὴν ἀλλὰ καὶ μαζοῖς καὶ γόνασι καὶ τῇ κεφαλῇ, καὶ αὐτοῖς τοῖς ἀναγκαίοις διαπερονηθεὶς, τὸ ἑαυτοῦ πνεῦμα εἰς χεῖρας τοῦ πάντων δεσπόζοντος Θεοῦ ἐναπέθετο, χορείαις ἀγγέλων παραπεμπόμενος…*; PL 192:2-9: *…Καὶ ὀργισθεὶς ὁ κόμης ἐκέλευσεν … τὸν δὲ μακάριον Λουκιλλιανὸν σταυρωθῆναι ἐν ἐρήμῳ τόπῳ. Περάσαντες δὲ αὐτοὺς ἐν τῷ Βυζαντίῳ τὰ μὲν παιδία ἀπεκεφάλισαν, τὸν δὲ μακάριον Λουκιλλιανὸν σταυρώσαντες κατέλιπον ἐν τῷ προσταχθέντι αὐτοῖς τόπῳ καθηλωθέντα κατὰ τῆς κεφαλῆς, κατὰ τῶν χειρῶν, κατὰ τῶν μαζῶν, κατὰ τῶν γονάτων καὶ κατὰ τῶν ἀναγκαίων μελῶν…* [cf. PLuc 17-18; PLucil 27-28] – **222** cf. *AASS* Iunii, III, 284D: *…Προστάττει τοίνυν ἐν ἐρήμῳ τόπῳ ἀπαχθέντας, τοὺς μὲν γενναίους παῖδας, τῇ τοῦ ξίφους τομῇ τὸ πέρας τοῦ βίου λαβεῖν…*; PL 192:2-6: *…Καὶ ὀργισθεὶς ὁ κόμης ἐκέλευσεν τὰ μὲν παιδία ἀποκεφαλισθῆναι, ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Κλαύδιος, Ὑπάτιος, Παῦλος, Διονύσιος… Περάσαντες δὲ αὐτοὺς ἐν τῷ Βυζαντίῳ τὰ μὲν παιδία ἀπεκεφάλισαν…* [cf. PLuc 17-18; PLucil 27]

---

HGSbPaVASeVb

**211** ικὲτέυον V

heirm. Ϛ΄ EE 1, nr 1, Joannis monachi

**214** ἴσοις : σὶς V – **220** αγωνησάμενος V

ῥείθροις ἱερῶν αἱμάτων πνίξαντες
τῶν πονηρῶν
δαιμόνων πάσας κακίστους φάλαγγας.

**Κ**οσμήσας σεαυτὸν ἄθλων λαμπρότησιν,
οὐράνια χαρίσματα
ἐκομίσω θεραπεύειν τὰ δεινά,
Λουκιλλιανέ, ἀνθρώπων τραύματα,
τῶν εὐσεβῶς
καταφευγόντων ὑπὸ τὴν σκέπην σου.

*Θεοτοκίον.*

**Ῥ**υσθῆναι με πυρὸς διαιωνίζοντος,
καὶ σκότους ἀμαυρώσεως
καὶ παντοίας, μητροπάρθενε ἁγνή,
θλίψεως ἱκέτευε τὸν Κύριον,
τὸν ἐκ τῆς σῆς
γαστρὸς ἀρρεύστως ἡμῖν ἐκλάμψαντα.

---

**232** cf. Matth 18:8, 25:41

---

**223-225** cf. *AASS* Iunii, III, 284F: *…ποίοις δὲ καὶ ὀφθαλμοῖς τὸ αἷμα τούτων, ὡς ὕδωρ εἰς γὴν* (sic) *ἐκχεόμενον, ἀτενίζειν ἠδύναντο. … δαίμονες ἔπτησσον, καὶ τὴν φυγαδείαν ἠσπάζοντο, τὴν τούτοις ἀπαστράπτουσαν τῆς γενναιότητος αἴγλην μὴ φέροντες…* – **227-231** cf. votationem ad vv. 17-21

---

HGSbPaVASeVb
**226-231** om. Vb – **226** ἑαυτὸν V
Post odem στʹ GSbVb synaxarium trad.: cf. *SynaxEC* 725-728; MV X, 8-9. Des. GSb: ἐτελειώθη σὺν τοῖς παισί, τὸν αὐχένα ἐτμήθη καὶ τὸν τῆς μαρτυρίας ἐκομίσατο στέφανον. Des. Vb: ἐτελειώθη σὺν τοῖς παισί, τὸν αὐχένα ἐτμήθη καὶ τὸν τῆς μαρτυρίας ἐκομίσατο στέφανον. Ἡ δὲ τούτου σύναξις τελεῖται ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ, τῷ ὄντι πλησίον τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν τῇ Ὀξείᾳ.
heirm. ζʹ EE 1, nr 1, Joannis monachi
**237** ἀρεύστως HA : ἀρρήτως VSbPaSeVb – ἐκλάμψαντος GA

*Ὠιδὴ ζ΄. Σὲ νοητήν, θεοτόκε, κάμινον*

**Ο**ἱ τοῦ πυρὸς
κληρονόμοι ἔβαλον
ὑμᾶς εἰς κάμινον ὁμοῦ
καιομένην, ἣν ὁ Χριστός,
μάρτυρες, κατέσβεσεν,
σώζων ὑμᾶς μέλποντας
ἀκαταφλέκτως μακάριοι·
«ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος».

---

**245-246** EE 1, nr 1, vv. 40-41 [cf. Dan 3:26,52]

---

**238-242** cf. *AASS* Iunii, III, 283C: *…ὁ τύραννος … πῦρ φοβερὸν καὶ αὐτὴν τὴν θέαν καταπλῆττον, καὶ τὸ πάλαι τ<ῶν> ὁσίων Παίδων Χαλδαικὸν* (sic) *πῦρ μακρῷ τῷ μέσῳ ἀνανεούμενον, πρὸς ἄμυναν τῶν ἀθλητῶν ἐξ ἀπονοίας εὐτρεπίζεσθαι προσέττατεν. Ἀλλ᾽ ὁ τὴν φλόγα τότε ἐκείνοις εἰς δρόσον μεταβαλὼν, καὶ τοῖς Μάρτυσι νῦν δροσοειδῆ νεφέλην κατομβρίσας, τὴν κάμινον μετεστοιχείου. Καὶ ἦν ἰδεῖν ὡς ἀληθῶς θαυμάσιον ἔργον καὶ παράδοξον συνηθὲς ὂν τῆς θείας δυνάμεως, σῶμα τὸ φύσει τὴν τοῦ πυρὸς ῥύμην ὑπενεγκεῖν μὴ δυνάμενον, ὑπερφυῶς ἐπικρατέστερον τῆς ἐνεργείας τῆς φλογὸς δεικνύμενον, καὶ τὴν τοῦ παμφάγου πυρὸς ἀναλωτικὴν δύναμιν, ὑπὸ σωματων* (sic) *καὶ ἁπαλῶν χαλινουμένην…*; PL 191:20-28: *…Ἀναφθείσης δὲ τῆς πυρᾶς, σταθεὶς ὁ ἅγιος Λουκιλλιανὸς ἅμα τοῖς παιδίοις, ηὔχετο λέγων· «ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ, ὁ ἐξαγαγὼν Δανιὴλ ἀσινῆ ἐκ λάκκου λεόντων, ὁ ῥυσάμενος τοὺς τρεῖς παῖδας ἐκ τῆς καμίνου τοῦ πυρός, καὶ ἡμᾶς ἀσπίλους διατήρησον ἀπὸ τοῦ πυρὸς τούτου.» Καὶ ἀναβὰς ὁ Λουκιλλιανὸς ἅμα τοῖς παιδίοις ἐπὶ τὴν πυρὰν καὶ ποιήσαντες τὴν ἐν Χριστῷ σφραγίδα, ἔστησαν ἐν μέσῳ αὐτῆς. Εὐθέως δὲ ὄμβρος ἐξ οὐρανοῦ καταβὰς ἔσβεσεν τὴν φλόγα τῆς καμίνου, καὶ ἦσαν ἐν τῷ μέσῳ ὥσπερ ἐν δρόσῳ διακινοῦντες καὶ ὑμνοῦντες τὸν Θεόν…* [cf. PLuc 16-17, capitulum 10; PLucil 26, capitulum 10]

---

HGSbPaVASeVb

**239** ἔβαλλον Sb : ἔβαλλον Vb : ἐλαβων V – **240** ὁμοῦ : νόμου V – **242** κατέσβεσε HSbPaSeVb : κατέσβεσαν V – **243** μέλποντας : πάντωτε Vb – **244** ἀκαταφλέκτους SbPaVSeVb – μακάριε V – **245-246** τῶν (πατέρων - ὑπερένδοξος) H, τῶν πατέρων (Θεὸς καὶ ὑπερένδοξος) Pa, (τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος) SbVA, τῶν π(ατέ)ρων θ(εὸ)ς (καὶ ὑπερένδοξος) Se

**Τ**ρεῖς τοὺς ποτὲ
νεανίας σβέσαντας
κάμινον θείῳ δροσισμῷ
εἰκονίζοντες, τοῦ πυρὸς
μέσον ἐνεβλήθητε,
ὅπερ ἐπικλήσεσιν
ὑδάτων ἄνωθεν ἔσβεσεν
ὁ παντουργὸς τῶν μαρτύρων
Θεός, μάρτυρες ἔνδοξοι.

**Ὅ**λως, σοφέ,
τὴν καλὴν ἀλλοίωσιν
ἀλλοιωθεὶς τῇ δεξιᾷ
τοῦ τῶν ὅλων δημιουργοῦ,
πόνους ἐκαρτέρησας,
χαίρων ὑπὲρ ἄνθρωπον,
καὶ πρὸς ζωὴν τὴν ἀνώλεθρον
ὡς ἀληθῶς μετετέθης,
φωτὸς θείου πληρούμενος.

*Θεοτοκίον.*

**Ὑ**πὲρ ἡμῶν
τὸν ἐκ σοῦ, πανάμωμε,
ἀποτεχθέντα δυσωπεῖν
μὴ ἐλλείπης ὡς ἀγαθόν,

---

**247-249** cf. Dan 3:1-97

---

**249-255** cf. notationem ad vv. 238-242

---

HGSbPaVASeVb

**247** Τρὶς Vb – **248** σβέσαντες V – **249** θείου Vb – θείων δροσισμῶν V – **251** ανεβλήθυτε V – **252** ἐπὶ κλύσεσιν Vb – **253** ἔσβεσαν A – **254-255** τῶν μαρτύρων - ἔνδοξοι : τῶν πατέρων θ(εὸ)ς, καὶ ὑπ(ερένδοξος) SbV : τῶν πατέρων θ(εὸ)ς ἔνδοξοι μάρτυρες Se – **256** Ὅλος HSbPaVb – **257** τὸν καλὸν V – **259** τοῦ τῶν : τούτων Vb – διμιουργῶν V – **267** ἀποτεχθέντα : ἀπὸ τεχθῆς τὰ V

ὅπως χάριν, ἔλεος
εὕρωμεν καὶ τύχωμεν
τῆς ἀιδίου λαμπρότητος
οἱ εὐσεβῶς θεοτόκον
ἀεὶ ὁμολογοῦντές σε.

*Ὠιδὴ η′. Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

**Σ**τερροτάτῳ, μάρτυς, λογισμῷ
τὰς ἐπιφερομένας
τῷ σώματι τῷ ἁγίῳ σου
πληγὰς χαρμονικῶς
κραυγάζων ὑπήνεγκας·
«εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

**Φ**εγγοβόλος, μάρτυς, ὡς ἀστὴρ
τὰ πέρατα λαμπρύνεις
ἀγώνων τε καὶ θαυμάτων
φανοτάταις ἀστραπαῖς,
φωτίζων τοὺς ψάλλοντας·
«εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου

---

**279-282, 288-292** EE 1, nr 1, vv. 47-50 [cf. Dan 3:57]

---

HGSbPaVASeVb

**273** ὁμολογούντων Vb

heirm. η′ EE 1, nr 1, Joannis monachi

**274** Ἱερροτάτω Se – **279-282** εὐλογεῖτε πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) H : εὐ(λ)ο(γεῖτε – αἰῶνας) Pa : εὐ(λ)ο(γεῖτε) πάντα (τὰ – αἰῶνας) SbV : εὐλογεῖτε πάντα (τὰ – αἰῶνας) A : εὐ(λ)ο(γεῖτε) πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) Se : εὐλογεῖται πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) Vb – **288-291** εὐ(λ)ο(γεῖτε) πάντ(α – αἰῶνας) H : εὐ(λ)ο(γεῖτε – αἰῶνας) Pa : εὐ(λ)ο(γεῖτε) πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) Sb : (εὐλογεῖτε – αἰῶνας) V : εὐλογεῖτε (πάντα – αἰῶνας) A : εὐ(λ)ο(γεῖτε) πάντα (τὰ – αἰῶνας) Se : εὐλογεῖτε πάντα τὰ ἔργ(α Κυρίου – αἰῶνας) Vb

τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

**Ἐ**πτερώθης πόθῳ θεϊκῷ
καὶ πάντων τῶν παγίδων
τοῦ δράκοντος τοῦ δολίου
ἐχρημάτισας βοῶν,
μάρτυς, ὑψηλότερος·
«εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

**Ῥ**ωμαλέως ἔστης πρὸς σφοδρὰς
τοῦ σώματος βασάνους,
ὡς ἄλλου μαστιζομένου
διακείμενος αὐτός,
καὶ μέλπων, πανόλβιε·
«εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

---

**297-300, 306-309** EE 1, nr 1, vv. 47-50 [cf. Dan 3:57]

---

HGSbPaVASeVb

**294-295** τοῦ δολίου ἐχρημάτισας : ἐχρημάτισας στερρότατα SbPaSeVb – **297-300** εὐλογεῖτε πάντ(α – αἰῶνας) H : εὐ(λ)ο(γεῖτε – αἰῶνας) SbVA : καὶ ἐβόας· πάντα τὰ ἔργ(α – αἰῶνας) Pa : εὐ(λ)ο(γεῖτε) πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) Se : εὐλογεῖτε πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) Vb – **301-309** om. PaV – **306-309** εὐ(λ)ο(γεῖτε) πάντ(α – αἰῶνας) H : εὐ(λ)ο(γεῖτε) πάντα τὰ ἔργα (Κυρίου – αἰῶνας) Sb : εὐ(λ)ο(γεῖτε – αἰῶνας) A : εὐ(λ)ο(γεῖτε) πάντα τὰ ἔργα <Κυρίου> τὸν κ(ύριο)ν (ὑμνεῖτε – αἰῶνας) Se : εὐλογεῖται πάντα τὰ έργα (Κυρίου – αἰῶνας) Vb

*Θεοτοκίον.*

Ὡραιώθης ταῖς παρθενικαῖς
λαμπρότησι, παρθένε,
κυήσασα τὸν ὡραῖον
τοῦ Πατρὸς μονογενῆ,
τὸν καθωραΐσαντα
τοὺς βοῶντας· «πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

*Ὠιδὴ θ′. Τύπον τῆς ἁγνῆς λοχείας σου*

Ἴδες τὸν τῆς δόξης Κύριον
προσηλωμένος ξύλῳ σε προσκαλούμενον
πρὸς τοὺς οὐρανούς,
ὡραϊσθέντα παθήμασιν
καὶ λαμπρῶς κατ᾽ ἐχθρῶν ἀριστεύσαντα,
γενναῖε στρατιῶτα,
τοῦ βασιλέως καὶ Θεοῦ ἡμῶν.

Ὤφθης ὡς πηγὴ ἀέναος
τῶν ἰαμάτων ῥεῖθρα ἀναπηγάζουσα
καὶ τῶν νοσημάτων

---

**313** cf. 1 Ioh 4:9; ConEph 1.1.1, p. 12 – **315-318** cf. EE 1, nr 1, vv. 47-50 [cf. Dan 3:57] – **324-325** cf. 2 Tim 2:3

---

HGSbPaVASeVb

**312** τὸν ὡραῖον : ὡραιότατον SbPaSeVb – **313** τοῦ om. SbPaSeVb – μονογενοὺ V – **314** τὸν : τὴν V – καθωραΐσαντα : καθαρὰν ἴσαντα V – **315-318** τὰ ἔργα (Κυρίου – αἰῶνας) HSbVSe : τ(ὰ ἔργα – αἰῶνας) Pa : τὰ ἔργα (Κυρίου – αἰῶνας) Vb – **316-318** τὸν κ(ύριο)ν ὑμν(εῖτε – αἰῶνας) A

heirm. θ′ EE 1, nr 1, Joannis monachi

**320** προσηλωμένης V – προσκαλοῦμενος V – **326-332** om. V – **327** ἀναπιγάζοντας Vb

τὰς ἐκβλύσεις ξηραίνουσα
καὶ πιστῶν τὰς καρδίας ἀρδεύουσα
πρὸς θείαν εὐκαρπίαν
θείων μαρτύρων ἀκροθίνιον.

**Σ**τῆσον πάντων τὰ νοσήματα,
τὰ χαλεπῶς χειμάζοντα τὰς ψυχὰς ἡμῶν,
Λουκιλλιανέ,
παρὰ Θεοῦ κομισάμενος
τῶν θαυμάτων τὴν θείαν ἐνέργειαν,
ὅπως εὐχαριστοῦντες
μεγαλοφρόνως σε δοξάζωμεν.

Ἤ**Η**δη σὺν ἀγγέλων τάξεσιν
στεφηφορῶν τῷ θρόνῳ Θεοῦ παρίστασαι,
Λουκιλλιανέ,
θείου φωτὸς ἀξιούμενος,
καὶ φωτίζεις τοὺς πίστει τὴν μνήμην σου
ἐπὶ τῆς γῆς τελοῦντας
τὴν φωτοφόρον καὶ σωτήριον.

*Θεοτοκίον.*

**Φ**ρίττω, ἐννοῶν ἑκάστοτε
τὸ φοβερόν, πανάμωμε, δικαστήριον,
πράξεις πονηρὰς

---

**348** cf. Matth 25:31-46

---

**336-337** cf. notationem ad vv. 17-21

---

HGSbPaVASeVb

**329** ξηραίνοντα A – **330** ἀρδεύουσα : ἐφραίνουσα Se – **332** ἀκροθήνιον ASeVb – **339** μεγαλοφώνως GSbPaVASeVb – **340-346** om. Pa – σὺν : τὸν V – **347** Φρίττον V : Τρίττω Vb

φρενοβλαβῶς περικείμενος
καὶ κολάσει ὑπάρχων ὑπόδικος,
ἐξ ἧς με, θεοτόκε,
τῇ προστασίᾳ σου ἐξάρπασον.

*Ἕτερος κανὼν φέρων ἀκροστιχίδα τήνδε· Λουκιλλιανοῦ μάρτυρος μέλπω κλέος.*

*Ὠιδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

354-358 **Λ**όγου σε τοῦ θείου θεραπευτὴν .................. = MV X, 7.
359-363 **Ὅ**λῃ διανοίᾳ τε καὶ ψυχῇ ............................. = MV X, 7.
364-368 **Ὑ**πὲρ πᾶσαν δόξαν τὴν ἐπὶ γῆς ............... = MV X, 7.
369-373 *Θεοτ.* **Κ**λίμαξ, ἣν ἑώρακεν Ἰακὼβ ............ = MV X, 7.

*Ὠιδὴ γ'. Σὺ εἶ τὸ στερέωμα*

374-377 **Ἰ**ούδας προδέδωκε ......................................... = MV X, 7.
378-381 **Λ**όγοις σε ὁ βάσκανος .................................. = MV X, 7.
382-385 **Λ**ύχνος φαεινότατος ..................................... = MV X, 8.
386-389 *Θεοτ.* **Ἵ**λεων γενέσθαι μοι .......................... = MV X, 8.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε*

390-393 **Ἀ**παστράπτεις τοῖς λόγοις σου ............... = MV X, 8.
394-397 **Ν**έος ὤφθης ἐκ πίστεως ................................ = MV X, 8.
398-401 **Ὀ**λετῆρα τῆς πλάνης σε …
f. 13r ...+ / ἰατῆρα ............................................... = MV X, 8.
402-405 *Θεοτ.* **Ὑ**πὲρ νοῦν τὸ μυστήριον ................ = MV X, 8.

---

HGSbPaVASeVb (et a v. 399 L)

Post odem θ' Vb hoc exaposteilarion trad.: *Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς (συνέλθωμεν).* Σὺν Ὑπατίῳ μέλψωμεν Κλαύδιόν τε καὶ Παῦλον… (=Appendix III, vv. 61-71).

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς*
*τοῖς προ(στάγμασί σου, Κύριε)*

| | | | |
|---|---|---|---|
| | 406-410 | **Μ**όνε ἰατρὲ ....................................................... | = MV X, 8. |
| | 411-415 | **Ἄ**νθος ἱερὸν ...................................................... | = MV X, 8. |
| | 416-420 | **Ῥ**ήματα ζωῆς ................................................... | = MV X, 8. |
| | 421-425 | *Θεοτ.* **Τ**εῖχος ἀρραγὲς ..................................... | = MV X, 8. |

*Ὠιδὴ στ΄. Ἱλάσθητί μοι, σωτὴρ*

| | | | |
|---|---|---|---|
| | 426-432 | **Ὑ**φάψας σου νοητῶς ....................................... | = MV X, 8. |
| | 433-439 | **Ῥ**ωσθεῖσα, μάρτυς σοφέ ................................. | = MV X, 8. |
| | 440-446 | **Ὁ**ρῶν σου τὸ ἀκλινὲς ...................................... | = MV X, 8. |
| | 447-453 | *Θεοτ.* **Σ**υνείληφας ἀληθῶς… | |
| f. 13v | | ... / καὶ τοῦτον ............................................ | = MV X, 8. |

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας*
*καταντ(ήσαντες παῖδες)*

| | | | |
|---|---|---|---|
| | 454-461 | **Μ**ετὰ Παύλου ἐβόας ........................................ | = MV X, 9. |
| | 462-469 | **Ἐ**ν τῇ πέτρᾳ ἐρείσας ........................................ | = MV X, 9. |
| | 470-477 | *Θεοτ.* **Λ**υτρωθείημεν πάντες ........................ | = MV X, 9. |

*Ὠιδὴ η΄. Τὸν βασιλέα τῶν οὐρανῶν*

| | | | |
|---|---|---|---|
| | 478-480 | **Π**αρὰ τὰς θείας ὡς ἀληθῶς ........................... | = MV X, 9. |
| | 481-483 | **Ὡ**ραιωθέντες οἱ ἀθληταὶ ................................ | = MV X, 9. |
| | 484-486 | *Θεοτ.* **Κ**ατακλιθέντα τοῖς ἀλγεινοῖς ……… | = MV X, 9. |

*Ὠιδὴ θ΄. Μεγαλύνομέν σε, τὴν πα(νάμωμον)*

| | | | |
|---|---|---|---|
| | 487-489 | **Λ**ογικοῦ λειμῶνος ἄνθη βλέποντες ……… | = MV X, 9. |
| | 490-492 | **Ἑ**ωσφόροι φανέντες ἀληθῶς ....................... | = MV X, 9. |
| | 493-495 | **Ὁ** παθῶν ὀδύνας ταῖς εὐχαῖς …………….. | = MV X, 9. |
| f. 14r | 496-498 | / *Θεοτ.* **Σ**ὲ καὶ τεῖχος καὶ σκέπην …………. | = MV X, 9. |

## 4
## In s. Metrophanem Archiepiscopum Constantinopolitanum

*Μηνὶ τῷ αὐτῷ δʹ: τοῦ ἁγίου Μητροφάνους, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.*

*Κάθισμα.*
*Ἦχος δʹ. Πρὸς τὸ Ἐπεφάνης σήμερ(ον)*

**Ὀ**ρθοδόξως, ὅσιε,
τὴν ἐκκλησίαν
τοῦ Χριστοῦ ἐποίμανας
καὶ τῶν αἱρέσεων πικρὰ
ἀποδιώξας ζιζάνια,
ἐν τοῖς ὑψίστοις
αὐλίζῃ, Μητρόφανες.

*Ἄλλον.*
*Ἦχος πλ. δʹ. Πρὸς τὸ Τὴν σοφίαν τοῦ Λόγου*

8-24 **Κ**ατὰ παθῶν βασιλεύσας τῶν τῆς σαρκὸς … = MV X, 11.

*Τὸ κονδάκιον.*
*Ἦχος δʹ. Πρὸς τὸ Ἐπεφάνης σήμερ(ον)*

25-31 **Ἐ**κ παιδὸς ἀνέφανας τίμιον σκεῦος …
………….. = TRM σηʹ; Laur 113; AmphKond, 119-120.

---

**4-5** αἱρέσεων … ζιζάνια] cf. Matth 13:36-42

---

L

heirm. kath. HAD, 292; MV V, 74 – **1-7** incipit kath. ed. in EfstrTam, 50 (1951) 253 (ex codd. P, f. 107r; Pb, f. 103r; Pc, f. 7r) – **4** αἰρέσεων L

*Ὁ οἶκος.*

**Τ**οιοῦτος ἔπρεπεν ἡμῖν
ἀρχιερεὺς καὶ μύστης,
τοῦ Λόγου ὑπηρέτης,
ὡς Παῦλος ἀνακράζει,
τὸ θεῖον ὄργανον Χριστοῦ,
τὰς λατρείας φέρων
καθ᾽ ἑκάστην τῷ Θεῷ
ὡς ἄμωμος καὶ τίμιος,
((σώματι μὲν ῥευστὸν
ὁρῶσι μὲν κείμενον,))
τοῖς δὲ ἀσωμάτοις
ὁμιλοῦντι τῇ λατρείᾳ,
καὶ τοὺς λαοὺς τῶν ἁμαρτημάτων
ἐξαιροῦντα ζυγῷ τῆς δικαιοσύνης
ὡς ὁ μέγας ἱερεὺς
νῦν Μητροφάνης
f. 14v / ἔφανεν ἡμῖν,
κηρύξας ἐν παρρησίᾳ.

*Ἀνακλώμενον*: Λόγος ὑπάρχεις Πατρὶ καὶ τῷ Πνεύματι.

*Στιχηρά.*
*Ἦχος πλ. β′. Πρὸς τὸ Ὅλην ἀποθέμενοι*

51-66 **Ὅ**λος ἱερώτατος ………………………………… = MV X, 10.
67-82 **Ἤ**στραψεν ὁ βίος σου ……………................... = MV X, 10.
83-98 **Ὁ** νοῦς σου ταῖς νεύσεσι …………................. = MV X, 10.

---

**31-34** cf. Heb 7:26

---

L

**32-50** incipit ed. in EfstrTam, 50 (1951) 253 (ex codd. Pb, f. 103r; Pc, f. 7r; Pd, f. 22v; Ga, f. 93v; Athon. Laurae Γ28, f. 162r; Athon. Vatopediou 1041, f. 143r) – **32-50** Τοιοῦτος – Πνεύματι ed. in AmphKond, 120 – **33** ἀρχιερεύς L – **38** καθεκάστην L – **40** σῶματι AmphKond – ῥευστῶν AmphKond – **41** ὁρῶσιν L – ὁρῶσιν ἐγκείμενον AmphKond – **43** τὴν λατρείαν AmphKond – **44** ἁμαρτιμάτων AmphKond – **45** ἐξαίροντα AmphKond – **46** ἱερεύς L – **48** ἔφανη AmphKond – **50** rubr. in L – <Ἀνακλώμενον:> Λόγος (ὑπάρχεις Πατρὶ καὶ τῷ Πνεύματι) AmphKond

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· φάνηθι, Μητρόφα-*
f. 15r *νες, εἰς ἡμῶν / φάος· <ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου>.*

*Ὠιδὴ α′. Ἦχος β′. Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα*

**Φ**ῶς νοητὸν
σήμερον ἡ ἐκκλησία Χριστοῦ
τοῦ παναγίου Πνεύματος
ἐνθέως δέχεται,
ἐκτελοῦσα τὴν μνήμην
τοῦ σοφοῦ ἱεράρχου,
καὶ καταλάμπεται.

**Ἀ**ναδοθεὶς
ἐν τῷ λειμῶνι τῆς πίστεως
ὡς δένδρον εὐθαλέστατον
εἰς ὕψος ἔνθεον
ἀρετῶν, ἱεράρχα
Μητρόφανες, ἤλασας
ἱερουργῶν τῷ Χριστῷ.

**Ν**έφη παθῶν
ἀποσοβήσας, Μητρόφανες,
τῷ φέγγει τῆς ἀσκήσεως
Χριστῷ προσήγγισας,
τῷ ἡλίῳ τῆς δόξης,
καὶ φωστὴρ ἀνεδείχθης
τῆς ἐκκλησίας αὐτοῦ.

---

**109-112** cf. Latyšev II, 13:14-16: *…καλῶς καὶ οὗτος καὶ μᾶλλον τῷ τῆς πατριαρχείας ἐνέπρεψε θρόνῳ, οὐ κατὰ σειρὰν καὶ γένος εἰς ταύτην ἀναχθεὶς μόνον τὴν πρόοδον, ἀλλὰ καὶ κατ᾽ ἀρετὴν μάλιστα, εὐλάβειάν τε καὶ τρόπων βίου χρηστότητα καὶ τῶν ἄλλων καλῶν…*; SynaxEC 728:25-729:4: *…Ὃν εὑρὼν ὁ μέγας Κωνσταντῖνος ἐν τῷ Βυζαντίῳ ἐπίσκοπον καὶ τὴν ἀρετὴν αὐτοῦ καὶ τὸ τῶν τρόπων εὐθὲς καὶ τὴν προκειμένην αὐτοῦ ἁγιωσύνην κατανοήσας…*

---

L

heirm. *α′* EE 37-38, nr. 51, Cosmae monachi

**117** ἡλίω L

**Ἡ** τοῦ Χριστοῦ
πρόνοια τῆς βασιλίδος σε
ἱερουργὸν ἀνέδειξεν,
ὡς ὑπερλάμποντα
ἀρεταῖς καὶ τῇ πίστει,
Μητρόφανες, καὶ λαοὺς
ταύτης φαιδρύνοντα.

*Θεοτοκίον.*

**Γ**ῆθεν ἡμᾶς
ἥρπασεν πρὸς τὰ οὐράνια
ὁ σὸς Υἱός, πανάχραντε,
τοὺς θεοτόκον σε
ἀληθῶς ἀνυμνοῦντας,
καὶ δόξης ἀιδίου
πάντας ἠξίωσεν.

*Ὠιδὴ γʹ. Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε*

**Θ**αλάσσης νοητῆς τῆς τῶν αἱρέσεων
τὸ κύτος τῇ ῥάβδῳ τῶν προσευχῶν σου
διελών, λαοὺς ὡδήγησας
εἰς ἐνθέους λιμένας, παναοίδιμε.

---

**120-124** cf. Latyšev II, 13:11-13: *…ὁ καλὸς Μητροφάνης τὴν ἀδελφικὴν ἀρχὴν θείᾳ προνοίᾳ διαδεξάμενος καλῶς καὶ οὗτος καὶ μᾶλλον τῷ τῆς πατριαρχείας ἐνέπρεψε θρόνῳ…*

---

L

**132** ἀϊδίου L

heirm. γʹ EE 39, nr. 53, Cosmae monachi

**135** κῦτος L

**Ἰ**σχύι κραταιᾷ Χριστοῦ ῥωννύμενος,
ἐνστάσεις, Μητρόφανες, κακοδόξων
ἐπολέμησας καὶ ἔτρεψας
καὶ πιστοῖς νικητήρια ἐβράβευσας.

**Μ**υρίπνοον, σοφέ, ὀσμὴν διέπνευσας
θαυμάτων καὶ τῶν θείων σου δογμάτων
καὶ τὴν ποίμνην εὐωδίασας
τοῦ Χριστοῦ νοητῶς, πάτερ Μητρόφανες.

*Θεοτοκίον.*

**Ἐ**λύθη τῆς ἀρᾶς τὸ πρὶν κατάκριμα
τῷ τόκῳ τῷ θείῳ σου, θεοτόκε,
καὶ τῆς χάριτος δικαίωσις
ἀντεδόθη τοῖς πόθῳ σε δοξάζουσιν.

f. 15v /*Ὠιδὴ δʹ. Εἰσακήκοα, Κύριε,*
*τὴν ἀκοὴν τῆς σῆς οἰκον(ομίας)*

**Ἡ** τοῦ Πνεύματος ἔλλαμψις
ἐν τῇ ψυχῇ τῇ σῇ ἐνοικισθεῖσα,
φωστῆρα σε πᾶσιν,
πάτερ, ἀνέδειξεν.

---

**146** cf. Gen 3:14-19 – **146-149** cf. Rom 5:13-15

---

**143** θαυμάτων] cf. Latyšev II, 15:14-19: …*Καὶ ταῦτα μέν, ὦ Μητρόφανες, ἐν ἐπιτομῇ τὰ σὰ διηγήματα. τὰ γὰρ θαύματα εἴ τις πειράσαιτο παραδοῦναι γραφῇ, πρότερον κοτύλῃ πέλαγον ἐξαντλήσοι ἢ ψάμμον ἀριθμήσοι θαλάσσης* <*καὶ οὕτω καὶ ταῦτα παραδοῦναι γραφῇ*>*. πλὴν εἴπερ τις πείρᾳ μαθεῖν ἐθελήσοι τὰ περὶ τούτων, τῷ παντίμῳ σου τάφῳ προσίτω, καὶ ὄψεται πάντως τὰ καθ᾽ ἑκάστην τελούμενα…*

---

L

**138** κραταιὰ L – **142** ὀσμὴν L – **143** θεῖων L – **146** ἀρὰς L – **147** θεῖω L – **149** σὲ L

heirm. δʹ deest in EE (cf. MR I, 96)

**150** ἔλαμψις L

**Τ**ῆς σαρκὸς τὴν εὐγένειαν
τῶν ἀρετῶν τῷ κάλλει, ἱεράρχα,
περιφανεστέραν
μᾶλλον ἐποίησας.

**Ῥ**ητορεύων ἐν Πνεύματι
τὴν ἀληθῆ, Μητρόφανες, σοφίαν,
τὴν σεσοφισμένην
ἀπάτην ἤλεγξας.

**Ο**ἱ τῶν λόγων, Μητρόφανες,
τῶν σῶν κρουνοὶ ῥυέντες ἐν τῷ κόσμῳ,
αἱρέσεων πᾶσαν
ὕλην κατέκλυσαν.

*Θεοτοκίον.*

**Ὥ**σπερ νάμασιν, δέσποινα,
ταῖς σαῖς ἡμᾶς κατάρδευσον πρεσβείαις,
τοὺς αὐχμῶντας
θλίψεσι καὶ νοσήμασιν.

*Ὠιδὴ ε′. Ὁ τοῦ φωτὸς χορηγὸς*

**Φ**υλάττων κύκλῳ ἀεὶ
τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ὅσιε,
καὶ ἀγρυπνῶν ψυχῇ ἀνυστάκτῳ,
ἐτήρησας αὐτήν,
ἀπολιορκήτως
ὑμνοῦσαν τὸν Κύριον.

---

**154** cf. Latyšev II, 12:22-24: …*καὶ γεννητόρων εὐσεβῶν καὶ τῶν ἀπὸ γένους καταγομένων βασιλικοῦ καρπὸς εὐσεβής· Δομετίου γὰρ ὁ Μητροφάνης υἱός, ὁ δὲ Δομέτιος ἀδελφὸς ἦν Πρόβου τοῦ βασιλέως.*

---

L

**164** αἰρέσεων L – **167** πρεσβεῖαις L – **168** ἀχμῶντας L

heirm. ε′ EE 38, nr. 51, Cosmae monachi

**172** ψυχὴ L

**Ἀ**ποβαλὼν τῆς σαρκὸς
τὸ γεηρὸν καὶ χαμερπές, ὅσιε,
δι᾿ ἀρετῶν καὶ πόνων γενναίων
πτεροῖς πρὸς οὐρανὸν
τοῖς σῆς ἀπαθείας
ἐνθέως ἀνέδραμες.

**Ν**έαν ἐν γήρει ἀεὶ
ἔχων τὴν ἔνστασιν, σοφέ, ἤλεγξας
λόγοις στερροῖς τὰς τῶν δυσφημούντων
φωνὰς καὶ τοὺς πιστοὺς
ἐν ὀρθοδοξίᾳ,
Μητρόφανες, ἥδρασας.

*Θεοτοκίον.*

**Ῥ**ώμην ἡ φύσις ἡμῶν
ἡ ἀσθενοῦσα διὰ σοῦ, ἄχραντε,
ὑπερφυῶς περιεζωσμένη,
τροποῦται τὸν ἐχθρὸν
καὶ σὲ ἀσιγήτως
δοξάζει ὡς δέσποινα.

*Ὠιδὴ στʹ. Ἐν ἀβύσσῳ πταισμάτ(ων)*

**Ἐ**ν ἀβύσσῳ δογμάτων κατέδυσας
τοὺς τριστάτας, ὅσιε, τοὺς τῶν αἱρέσεων
καὶ πιστοὺς διεβίβασας
εἰς γῆν ὀρθοδοξίας, Μητρόφανες.

---

L

**178** διαρετῶν L – **184** δυσφημοῦντων L – **187** ἥδρασας L

heirm. στʹ EE 34, nr. 46, Joannis monachi

**195** αἰρέσεων L

f. 16r / **Σ**ὺ βασίλειον κόσμον, Μητρόφανες,
τὰς ὑπερφαεῖς ἀρετὰς περικείμενος,
εἰς μυστικὰ ἀνάκτορα
τῶν Χριστοῦ μυστηρίων εἰσέδραμες.

**Ε**ἰς βυθόν, ἱεράρχα, νοούμενον
τῆς γραφῆς εἰσδύσας νοὸς καθαρότητι,
μαργαρίτην πολύτιμον
τῶν σοφῶν ἀνελέξω δογμάτων σου.

*Θεοτοκίον.*

**Γ**ηγενεῖς θεωθέντες ἐν χάριτι
διὰ τῆς ἀφράστου σου, ἁγνή, κυήσεως,
σὺν ἀσωμάτοις τάξεσιν
θεοτόκον κυρίως ὑμνοῦμέν σε.

*Ὠιδὴ ζ΄. Εἰκόνος χρυσῆς ἐν πεδίῳ Δε(ηρᾶ)*

**Ἰ**λύος παθῶν
ἐκκαθάρας τὴν ψυχήν, ἱερομύστα,
δοχεῖον ταύτην ἀπετέλεσας
τῶν χαρισμάτων τοῦ Πνεύματος,
ὧν τῇ μεταδόσει ἀνθρώπους
καταπλουτῶν ἀνεκραύγαζες·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

---

**204** cf. Matth 13:45-46 – **213-215** cf. Rom 1:11 – **216-217** EE 39, nr. 53, vv. 40-41 [cf. Dan 3:26, 52]

---

L

**199** ὑπερφαεὶς L

heirm. ζ΄ EE 39, nr. 53, Cosmae monachi

**216-217** εὐ(λ)ο(γητὸς) εἶ ὁ θ(εὸς - ἡμῶν) L

**Σ**οφίας Θεοῦ
τῆς ἀπταίστου δαψιλῶς κατατρυφήσας,
τὴν πλανωμένην καὶ ψευδώνυμον
ἀπεβδελύξω, Μητρόφανες,
καὶ Ἑλλήνων μύθους ἀπώσω
καὶ τῷ Χριστῷ ἀνεκραύγαζες·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

**Ἡ**ρπάγης, σοφέ,
ἀπὸ γῆς πρὸς οὐρανὸν τῇ θεωρίᾳ,
ψυχὴν καὶ σῶμα καθηράμενος
πόνοις ἐνθέοις, Μητρόφανες,
καὶ μυστικωτέραν καὶ θείαν
δόξαν κατίδες καὶ ἔψαλλες·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

Θεοτοκίον.

**Ἰ**σχὺς τοῦ ἐχθροῦ
ὑπερήφανος ἐπαύθη, θεοτόκε,
διὰ τοῦ τόκου τοῦ ἀχράντου σου·
καὶ ἀσθενοῦντες ἐρρώσθημεν
καὶ κατατροπούμενοι τοῦτον,
ἀκαταπαύστως κραυγάζομεν·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

---

**224-225, 232-233, 240-241** EE 39, nr. 53, vv. 40-41 [cf. Dan 3:26, 52] – **218-222** cf. 1 Cor 1:20-24, 2:6-8 – **226-231** cf. 2 Cor 12:2-4

---

L

**219** δαψηλῶς L – **222** ἐλλήνων L – **224-225** εὐ(λ)ο(γητὸς - ἡμῶν) L – **226** Ἠρπάγης L – **232-233** εὐ(λ)ο(γητὸς - ἡμῶν) L – **237** ἐρώσθημεν L– **240-241** εὐ(λ)ο(γητὸς - ἡμῶν) L

*Ὠιδὴ η′. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

**Μ**όνα ποθῶν τὰ τοῦ Χριστοῦ
ἀξιώματα, σοφέ, τῶν ἐγκοσμίων
τὴν ἀξίαν καὶ δόξαν
ἀπεβδελύξω· διὸ
ἀφάτου τιμῆς κατηξίωσαι,
f. 16v σύνθρονος / καὶ φίλος
ὀφθεὶς τῶν ἀποστόλων.

**Ὡ**ς ἁλουργίδα φαεινῶς
ὑπερλάμπουσαν, σοφέ, ἱερωσύνης
τὴν στολὴν τὴν ἁγίαν
περιβαλλόμενος,
ἀξίως Χριστῷ ἱερούργησας
καὶ συμβασιλεύεις
αὐτῷ εἰς τοὺς αἰῶνας.

**Ν**όμους Χριστοῦ διὰ παντὸς
καὶ ἐντάλματα αὐτοῦ πᾶσιν κηρύττων,
ἀνομίαν ἐξῆρας
ἐκ γῆς, Μητρόφανες,
κραυγάζων· «ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

---

**260-262** cf. EE 35, nr. 47, vv. 34-36 [cf. Dan 3:26, 52]

---

L

heirm. η′ EE 35, nr. 47, Joannis monachi

**243** ἐνκοσμίων L – **248** όφθεὶς L – **249** ἀλουργίδα L – **258** ἐξήρας L – **261-262** (καὶ - αἰῶνας) L

*Θεοτοκίον.*

**Ὁ** ὑπεράγαθος Υἱὸς
τοῦ Θεοῦ ἐκ σοῦ, ἁγνή, σαρκὶ γεννᾶται
καὶ ἐν χάριτι ἡμᾶς
υἱοὺς αὐτοῦ ἐκτελεῖ,
τοὺς πίστει θεοτόκον ἄχραντον
σὲ δοξολογοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ θʹ. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

**Φ**ωτολαμπῆ σε ἀστέρα
ὁ Χριστός, ἱεράρχα,
προθεὶς ἐν ἐκκλησίᾳ τῇ αὐτοῦ,
λόγοις σου θείοις τὸ πλήρωμα
κατεφώτισε ταύτης·
διὸ σὺν ἀποστόλοις σε πᾶσι
καὶ σοφοῖς διδασκάλοις
ἐδόξασεν, Μητρόφανες.

**Αἱ** ἀστραπαὶ τῶν εὐχῶν σου,
ἱεράρχα Κυρίου,
τὸν Ἄρειον δικαίως ὡς ἐχθρὸν
τῆς ἀληθείας κατέφλεξαν
καὶ ἀνεῖλαν σὺν τούτῳ
ἀθέσμως βλασφημοῦντας εἰς Θεὸν
καὶ ἐφώτισαν πάντας
τοὺς Χριστὸν μεγαλύνοντας.

---

**280-283** SynaxEC 729:15-21: *...τῆς δὲ κατὰ Νίκαιαν πρώτης συνόδου συναθροισθείσης, ὁ μὲν Μακάριος Μητροφάνης διὰ γῆρας καὶ νόσον ἀπελύθη· καὶ γὰρ ἦν ἤδη κλινοπετὴς τῷ χρόνῳ τῆς φυσικῆς μαρανθείσης δυνάμεως· τὸν δὲ πρῶτον ἐν πρεσβυτέροις Ἀλέξανδρον ἄνδρα τίμιον ἐξαπέστειλεν, ὃν καὶ διάδοχον ἀπεφήνατο.*

---

L

**263** υ(ἱὸ)ς L – **269** εἰς πάντ(ας τοὺς αἰῶνας) L

heirm. θʹ EE 34-35, nr. 46, Joannis monachi

**273** θεῖοις L – **282** συν τοῦτω L

Ὅπλοις τῶν θείων σου λόγων
ὀρθοδόξων τὰ πλήθη
κρατύνας, ἱεράρχα τοῦ Χριστοῦ,
αἱρετιζόντων τὰς φάλαγγας
ἐτροπώσω· διό σε
ὡς πρόμαχον τιμῶμεν οἱ πιστοὶ
καὶ ποιμένα καὶ μέγαν
διδάσκαλον, Μητρόφανες.

<Σ– ʹ – – –ʹ – – – ʹ –
– – –ʹ – – –ʹ –
– –ʹ – – – –ʹ – – – –ʹ
– – – –ʹ – – –ʹ – –
– – –ʹ – – –ʹ –
– –ʹ – – – –ʹ – – – –ʹ
– – –ʹ – – –ʹ –
– –ʹ – – – –ʹ – –>.

*Θεοτοκίον.*

Ὕδωρ ζωῆς ἡ τεκοῦσα,
παναγία παρθένε,
Χριστὸν τὸν εὐεργέτην καὶ Θεόν,
φλόγα παθῶν καὶ τῶν θλίψεων
καὶ πολλῶν νοσημάτων κατάσβεσον
f. 17r καὶ δρόσισον ἡ/μᾶς,
νοητῶς ἀπαθείᾳ
σὲ πόθῳ μεγαλύνοντας.

---

**302** cf. Apoc 22:17

---

L

**286** θεῖων L – **289** αἰρετιζόντων L – **308** ἀπαθεῖα L

*Ἕτερος κανὼν εἰς τὸν ἅγιον Μητροφάνην, ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, φέρων ἀκροστιχίδα τήνδε· Μέγιστον ὑμνῶ τοῦ Μητροφάνους κλέος.*

*Ὠιδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ*

310-315 **Μ**ετὰ τῆς ἄνω χορείας ὡς ἱερεὺς .................... = MV X, 12.
316-321 **Ἐ**κλελεγμένος Κυρίῳ ἱερουργεῖν .................. = MV X, 12.
322-327 **Γ**νῶσιν τὴν θείαν πλουτήσας, λόγον ζωῆς… = MV X, 12.
328-333 *Θεοτ.* **Ἱ**ερωτάτη χορεία τῶν προφητῶν ......... = MV X, 12.

*Ὠιδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
*Κύριε ὁ Θεός μου*

334-340 **Σ**ταλάζων θεῖον γλυκασμὸν …...................... = MV X, 12.
341-347 **Τ**ῇ θείᾳ ψήφῳ προκριθεὶς ….......................... = MV X, 12.
348-354 **Ὁ** τάφος ἔνθα τὸ σεπτὸν …........................... = MV X, 12.
355-361 *Θεοτ.* **Ν**οεῖν τοῦ τόκου σου σεμνὴ…
f. 17v … /ἐν γαστρὶ ……………………………… = MV X, 12.

*Ὠιδὴ δ΄. Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος*

362-368 **Ὑ**πάρχων ἔμπλεως ……………….................. = MV X, 13.
369-375 **Μ**ονάδα ἄκτιστον ………………….................. = MV X, 13.
376-382 **Ν**εκρώσας πρότερον ……………….................. = MV X, 13.
383-389 *Θεοτ.* **Ὡ**ς πύλην φέρουσαν ……....................... = MV X, 13.

*Ὠιδὴ ε΄. Τῷ θείῳ φέγγει σου, (ἀγαθὲ)*

390-396 **Τ**ὰ θεῖα θείως ἐπιτελῶν ……………………… = MV X, 13.
397-403 **Ο**ἱ τῶν εἰδώλων θεραπευταὶ ……................... = MV X, 13.
404-410 **Ὑ**πὸ τῆς χάριτος προσκληθεὶς …................... = MV X, 13.
411-417 *Θεοτ.* **Μ**ετὰ τὴν κύησιν τὴν φρικτὴν …
f. 18r … Μαρία θεο/χαρίτωτε. …….................... = MV X, 13.

*Ὠιδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν*

418-423 **Ἡ** γλῶσσα σου Πνεύματι ………................... = MV X, 13.
424-429 **Τ**ὰ θεῖα μυούμενος …………………................ = MV X, 13.
430-435 **Ῥ**οαῖς τῶν δογμάτων σου ………..................... = MV X, 13.
436-441 *Θεοτ.* **Ὁ** Λόγος ἐν μήτρᾳ σου …….................... = MV X, 13.

*Ὠιδὴ ζʹ. Δροσοβόλον μὲν τὴν κάμ(ινον εἰργάσατο)*

| | | |
|---|---|---|
| | 442-448 | **Φ**ωτιζόμενος τοῦ Πνεύματος τῇ χάριτι ........ = MV X, 14. |
| | 449-455 | **Ἁ**γιότατος ναὸς ἀγλαϊζόμενος …….............. = MV X, 14. |
| | 456-462 | **Ν**υσταγμὸν ἀπὸ βλεφάρων ἀπωσάμενος … |
| | | ................................................................... = MV X, 14-15. |
| | 463-469 | *Θεοτ.* **Ὁ** καθήμενος ἐν κόλποις τοῦ γεννήτορος … |
| f. 18v | | … νέος Ἀδὰμ / γεγονώς. ……................... = MV X, 15. |

*Ὠιδὴ ηʹ. Ἐκ φλογὸς τοῖς ὁσίοις δρό(σον ἐπήγασας)*

| | | |
|---|---|---|
| | 470-477 | **Ὑ**περήφανον ὄφιν ……………….……………. = MV X, 15. |
| | 478-485 | **Σ**αρκωθέντα τὸν Λόγον ……………………… = MV X, 15. |
| | 486-493 | **Κ**αὶ τὸν βίον τῷ λόγῳ ………………………… = MV X, 15. |
| | 494-501 | *Θεοτ.* **Λ**υτρωθέντες τῆς πρώην …….............. = MV X, 15. |

*Ὠιδὴ θʹ. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύ(νατον)*

| | | |
|---|---|---|
| | 502-508 | **Ἐ**ν γῇ πραέων σὺ κατεσκήνωσας ….............. = MV X, 15. |
| | 509-515 | **Ὁ**ρᾷς ἀγγέλων θείας λαμπρότητας …........... = MV X, 15. |
| | 516-522 | **Σ**αφῶς καθέδραν πρῶτος ἐκόσμησας … |
| f. 19r | | … λαὸν / θεόφρονα. ………………….. = Hannick, 74. |
| | 523-529 | *Θεοτ.* **Σ**ταγὼν καθάπερ ἡ ἐπουράνιος …....... = MV X, 15. |

## 5

## In s. Eustathium Episcopum Antiochiae

(vv. 1-7, 19-75, 112-297)

## In s. Hilarium abbatum Dalmati monasterii

(vv. 8-16, 76-111, 297-517)

*Μηνὶ τῷ αὐτῷ ε′ τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσταθίου, ἐπισκόπου Ἀντιοχείας, καὶ τοῦ ὁσίου Ἱλαρίωνος τῆς Δαλμάτων.*

*Κάθισμα.*
*Ἦχος γ′. Πρὸς τὸ Τὴν ὡραιότητα τῆς (παρθενίας σου)*

**Τ**ὸν ὁμοούσιον Πατρὶ καὶ Πνεύματι
Λόγον ἐκήρυξας, πάτερ Εὐστάθιε,
καὶ τὸν παράφρονα στερρῶς νευραῖς τῶν δογμάτων σου
Ἄρειον ἀπέπνιξας βλασφημοῦντα ἀθέμιτα·
ὅθεν συνηρίθμησαι τοῖς χοροῖς ἀγαλλόμενος
τῶν θείων καὶ σοφῶν θεηγόρων
πατέρων, μεθ᾽ ὧν ἡμῶν μνήσθητι.

*Ἄλλον.*
*Ἦχος δ′. Πρὸς τὸ Ταχὺ προκατάλαβε.*
*|Ἱλαρίωνος.|*

8-18 **Θ**εῷ καθιέρωσας τὴν σὴν παμμάκαρ ζωὴν ... =MV X, 20.

*Τὸ κονδάκιον.*
*Ἦχος α′. Πρὸς τὸ Χορὸς ἀγγελικὸς*

19-27 **Ὁ**μότιμον Πατρὶ δογματίζων τὸν Λόγον …
…………………………………. = AHG VI, XXV (1), 1-9.

---

**1-2** cf. ConEph 1.1.1, p. 13

---

L

heirm. kath. HAD, 192 – **6** θεῖων L – **7** μεθῶν L

*Ὁ οἶκος.*

**Τ**ὸν νοῦν μου φώτισον, Κύριε,
καὶ τὰ ὄμματα τῆς καρδίας μου ἄνοιξον
πρὸς τὸ ὑμνῆσαι τὸν πάνσοφον
νῦν σου ἱεράρχην
καὶ τοῖς τρόποις ἰσάγγελον
ἐν ἀνθρώποις ἐκλάμψαντα
καὶ τῆς πίστεως κήρυκα
f. 19v μέ/γαν γενόμενον
καὶ Ἀρείου τὸ βλάσφημον,
τὸν βλασφημοῦντα
Τριάδα τὴν Ἁγίαν,
καὶ ὡς κύνα ἀπέδειξας,
καὶ ἐμπνίξας ἐν τοῖς βρόχοις
τῶν σοφῶν λόγων,
σφενδόνῃ τῆς γλώττης
καὶ πάντας τοὺς ὁμόφρονας αὐτῷ
ἀποδιώξας τῆς ποίμνης σου, δέσποτα.

*Ἀνακλώμενον*: Εὐστάθιε πάνσοφε.

*Στιχηρά.*
*Ἦχος πλ. δʹ. Πρὸς τὸ Τί ὑμᾶς καλέσωμεν, ἅγιοι*

**Ἔ**χων πολιτείαν οὐράνιον
ἐκ Θεοῦ ἱερουργεῖν
προεχειρίσθης ἀληθῶς
καὶ προσήγαγες αὐτῷ
λατρείας γνώμῃ καθαρᾷ,

---

L (et in vv. 44-73 Ia)

**40** ἐνπνίξας L – **45** rubr. in L

heirm. stich. PaAD, 853 – **46** πολιτεῖαν L – **50** λατρεῖας L – καθαρὰ L

κινδύνους ὑπομείνας, παμμακάριστε,
καὶ πόνους διὰ κήρυγμα τὸ ἔνθεον
καὶ τὴν βεβαίαν ἀλήθειαν,
ἣν τοῖς σοῖς λόγοις ἐκράτυνας
τοὺς ἄφρονας στηλιτεύων ἐμφανέστατα.

**Λ**όγων ἱερῶν σου πυρσεύμασιν
ἐνεπύρισας σαφῶς
ὕλην Ἀρείου δυσσεβοῦς
βλασφημίας, τῷ Πατρὶ
μὴ συγχωροῦντος τὸν Υἱὸν
τῇ φύσει ὀνομάζεσθαι ὁμότιμον,
κτιστὸν δέ, ἱερώτατε Εὐστάθιε,
καὶ τὰς καρδίας ἐφώτισας
καὶ ἀληθείᾳ ἐκράτυνας
τῶν πίστει σου ἐκτελούντων τὰ μνημόσυνα.

**Ν**έμων βακτηρίᾳ τῶν λόγων σου,
ἱερώτατε ποιμήν,
ποίμνην Θεοῦ τὴν λογικήν,
διετήρησας αὐτὴν
λύκων παντοίων ἀβλαβῆ·
διό σε ὁ καλὸς ποιμὴν ὡς πρόβατον
εἰσῆξεν εἰς τὴν μάνδραν τὴν οὐράνιον,
ἔνθα πατέρων οἱ ἄριστοι
καὶ τῶν δικαίων τὰ πνεύματα,
Εὐστάθιε θεοφόρε παμμακάριστε.

---

**70** cf. Matth 7:15 – **71** cf. Ioh 10:12

---

L (et in vv. 46-75 Ia)

**51** ὑπομεῖνας L – **54** ἣν L – **58** ἀρεῖου L – **60** συγχωροῦντες p.c. Ia (ex συχωροῦντες) – **62** κτιστόν τε Ia – **64** ἀληθεῖα L – **65** ἐκτελοῦντων L – μνημό(συνα) L – **68** λογικήν : ἐκλεκτήν Ia – **71** ὡς καλός Ia

*Ἄλλα.*
*Ἦχος δ′. Πρὸς τὸ Ἔδωκας σημεί(ωσιν)*

76-87 **Β**ίον ἀκηλίδωτον …
f. 20r … ὡς / ἄγγελος ……………….................. = MV X, 19.
88-99 **Ἐ**πίγειος ἄγγελος ……………………………… = MV X, 19.
100-111 **Ὁ** νοῦς σου λαμπόμενος …………………….. = MV X, 19.

*Ὁ κανών.*

*Ὠιδὴ α′. Ἦχος βαρύς. Τῷ συνεργήσαντι Θεῷ …*
*… ἐνδόξ(ως γὰρ δεδόξασται).*

112-116 **Τ**ὴν τῶν πατέρων κορυφὴν ……. = AHG VI, XXV (1), 1-4.
117-121 **Π**ρόμαχος πίστεως φανεὶς …….. = AHG VI, XXV (1), 5-8.
122-126 **Σ**τόμα τοῦ λόγου γεγονὼς ……. = AHG VI, XXV (1), 9-12.
127-131 <**Ἐ**πιτελοῦνες ἐν ᾠδαῖς …> ….. = AHG VI, XXV (1), 13-16.
132-136 *Θεοτ.* **Ἡ** διὰ Λόγου ἐν σαρκὶ … = AHG VI, XXV (1), 17-20.

<*Ὠιδὴ β′. Πρόσεχε, οὐρανέ·*
*φθέγξομαι γὰρ*

137-141 **Τ**ῷ ῥεύματι τῆς εὐλάλου σου γλώττης …
…………………………….. = AHG VI, XXV (1), 21-25.
142-146 **Ἐ**ξώρισας ἀπὸ τῆς Ἐκκλησίας …
……………………………… = AHG VI, XXV (1), 26-30.
147-151 **Τ**ὴν ὕπαρξιν ἐκ πατρὸς ἀϊδίως …
……………………………… = AHG VI, XXV (1), 31-35.
152-156 **Ἐ**στήριξας τὴν Χριστοῦ Ἐκκλησίαν …
…………………..……….. = AHG VI, XXV (1), 36-40.
157-161 *Θεοτ.* **Π**επλήρωται ἐπὶ σοί, θεοτόκε …>
……………………………… = AHG VI, XXV (1), 41-45.

---

**137-161** deest L

*Ὠιδὴ γ΄. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ*

f. 20v 162-164 **Ῥ**ομφαίαν … / εὐσεβείας ……. = AHG VI, XXV (1), 46-51.

165-167 **Ἐ**νθέως γεωργήσας τὴν ἐκκλησίαν …
……………………………… = AHG VI, XXV (1), 52-57.

168-170 **Π**ρωτεύων τοῦ συλλόγου τῆς ἀληθείας …
……………………………… = AHG VI, XXV (1), 58-63.

171-173 *Θεοτ.* **Ἐ**τέχθης ἐκ Παρθένου ἀνερμηνεύτως …
………………………….. = AHG VI, XXV (1), 64-69.

*Ὠιδὴ δ΄. Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεὸς …*
*… σοφίας σου, φιλάνθρωπε.*

174-177 **Τ**ῆς γνώσεως τοῦ Χριστοῦ τὸν ἄνθρακα …
……………………………… = AHG VI, XXV (1), 70-73.

178-181 **Τ**ῆς πίστεως συγκροτῶν τὰ τρόπαια …
…………………………….. = AHG VI, XXV (1), 74-77.

182-185 <**Τ**ῶν φθόγγων σου ἡ λαμπὰς ὡσεὶ ἀστραπὴ …>
……………………………… = AHG VI, XXV (1), 78-81.

186-189 **Τ**οὺς χάρακας ὑποθεὶς τῶν λόγων σου …
……………………………… = AHG VI, XXV (2), 69-72.

190-193 *Θεοτ.* **Ἱ**κέτευε τὸν ἐκ σοῦ τεχθέντα Θεόν …
……………………………… = AHG VI, XXV (1), 82-85.

*Ὠιδὴ ε΄. Ὀρθρίζει τὸ πνεῦμα μου πρὸς σὲ ὁ Θεὸς …*
*… τοῖς δούλοις σου, φιλάνθρωπε.*

194-197 **Ἱ**στῶντες χοροστασίας πνευματικὰς …
……………………………… = AHG VI, XXV (1), 86-89.

198-201 **Τ**ὸν ζόφον μειώσας τῶν αἱρέσεων
f. 21r ἐξανέτειλας / εἰς τὰ πέρατα πάντα …
……………………………… = AHG VI, XXV (1), 90-93.

202-205 **Τ**οῖς ὅπλοις φραττόμενοι, Εὐστάθιε …
……………….. = AHG VI, XXV (1), 94-97.

206-209 *Θεοτ.* **Τ**ὸν Λόγον συνέλαβες ἐν μήτρᾳ σου …
…………………………….. = AHG VI, XXV (1), 98-101.

*Ὠιδὴ στʹ. Ὁ Ἰωνᾶς ἐκ κοι(λίας)*

210-213 **Τ**ῶν λόγων σου θεοπνεύστῳ γαλήνῃ …
…………………………… = AHG VI, XXV (1), 102-106.
214-217 **Ἀ**πέρριψας εἰς δογμάτων σου βάθη …
…………………………… = AHG VI, XXV (1), 107-111.
218-221 **Ἐ**ν ἀρετῇ ἀπροσίτῳ ὑπάρχων …
…………………………… = AHG VI, XXV (1), 112-116.
222-225 *Θεοτ.* **Ὃ**ν ἔτεκες, θεοτόκε, ἀνερμηνεύτως …
…………………………… = AHG VI, XXV (1), 117-121.

*Ὠιδὴ ζʹ. Κάμινον καιομένην*

226-231 **Τ**οῦ Πνεύματος τῇ χάριτι …... = AHG VI, XXV (3), 97-102.
232-237 **Ἄ**ρειον κατήσχυνας ………... = AHG VI, XXV (3), 103-108.
238-243 **Π**ρεσβείαις δυσωπούμενος… =AHG VI, XXV (3), 109-114.
244-249 *Θεοτ.* **Π**ερίσωζε τὴν ποίμνην σου …
……………………………. = AHG VI, XXV (3), 115-120.

f. 21v / *Ὠιδὴ ηʹ. Τὸν μόνον ἄναρχον βασιλέα (τῆς δόξης)*

250-256 **Ῥ**άβδῳ σοφίας σου ………… = AHG VI, XXV (1), 142-149.
257-263 **Ἐ**ξ οὐρανίου σου …………… = AHG VI, XXV (1), 150-157.
264-270 **Ὁ**μολογίᾳ σου ……………… = AHG VI, XXV (1), 158-165.
271-277 *Θεοτ.* **Τ**ὸ κέρας ὕψωσον …... = AHG VI, XXV (1), 166-173.

*Ὠιδὴ θʹ. Τὴν ὑπὲρ φύσιν μητέρα*

278-282 **Τ**ὸν ἐν τῷ γράμματι βότρυν …
…………………………… = AHG VI, XXV (1), 174-178.
283-287 **Ῥ**ομφαίαν δίστομον φέρων …
…………………………… = AHG VI, XXV (1), 179-183.
288-292 **Κ**λητὴν ἁγίαν ἡμέραν ……. = AHG VI, XXV (1), 184-188.
293-297 *Θεοτ.* **Ἐ**ν κροσωτοῖς, θεομῆτορ …
…………………………… = AHG VI, XXV (1), 189-193.

f. 22r / *Ἕτερος κανὼν εἰς τὸν ὅσιον Ἱλαρίωνα τῆς Δαλμάτων.*

*Ὠιδὴ α′. Ἦχος πλ. δ′. Ὑγρὰν διοδεύσας ὡσεὶ ξη(ρὰν)*

298-302 **Ἐ**ν φωτὶ ἀύλῳ καὶ νοητῷ ………………….... = MV X, 19.
303-307 **Ἐ**κ βρέφους θηλάσας τὴν ἀρετὴν …………… = MV X, 19.
308-312 **Τ**ῶν παθῶν τὸ πέλαγος διελθὼν ……………. = MV X, 19.
313-317 *Θεοτ.* **Λ**όγον τὸν ἀμήτορα ἐκ πατρὸς ………. = MV X, 19.

*Ὠιδὴ γ′. Σὺ εἶ τὸ στερέωμα*
*τῶν προ(στρεχόντων σοι, Κύριε)*

318-321 **Ἔ**φλεξας τῷ ἄνθρακι ………………………… = MV X, 19.

**Β**έλη ἠκονημένα
τὰς ἀρετὰς κτησάμενος Πνεύματι,
ὡς δυνατὸς ἔτρωσας καρδίαν
τοῦ δεινοῦ πολεμήτορος.

326-329 **Ὅ**πλον τὴν ἐγκράτειαν ………………………. = MV X, 20.
330-333 <**Π**αρθενίας ἔρωτι …> ………………………… = MV X, 20.

*Θεοτοκίον.*

**Ἵ**λεον γενέσθαι μοι
σὲ δυσωπῶ ταῖς σαῖς, δέσποινα,
παρρησίαις τὸν ἐκ σοῦ τεχθέντα
ἐν ἡμέρα τῆς κρίσεως.

---

**322** cf. Ps 44:6 – **337** cf. Matth 10:15, 11:22-24, 12:36; 2 Petr 2:9, 3:7; 1 Ioh 4:17

---

L

**322** ἠκονημένα L – In vv. **334-337** MV hoc trop. tradit: Δὸς ἡμῖν βοήθειαν … (cf. MV X, 20)

*Ὠιδὴ δʹ. Εἰσακήκοα, Κύριε*
*τῆς οἰκον(ομίας σου τὸ μυστήριον)*

f. 22v 338-341 **Φ**υτευθεὶς ἐν τοῖς ὕδασι … /
… βότρυν προβαλλόμενον. …………….. = MV X, 20.
342-345 **Ὅ**λος ἔνθους γενόμενος …………………….. = MV X, 20.

**Ἐ**γκρατείας γενόμενος
θεῖον ἐνδιαίτημα, πάτερ ὅσιε,
ἐνετρύφησας τῷ Πνεύματι
τῆς ἐπουρανίου ἀπολαύσεως.

350-353 *Θεοτ.* **Χ**ερουβὶμ ὑπερτέραν σε ………………. = MV X, 20.

*Ὠιδὴ εʹ. Ὀρθρίζοντες βοῶμεν σοι, Κύριε*

354-357 **Τ**ὸ ὄμμα τῆς καρδίας ἀκοίμητον ……………. = MV X, 20.

**Τ**ὸ ὕδωρ ἀναβλῦσαν τὸ θεῖον
ἐν τῇ ψυχῇ σου,
ἅπασαν ἐπήγασεν
ἐν σοί, παμμάκαρ, ἀπάθειαν.

362-365 **Ε**ἰς ὄρος ἀρετῶν δι᾽ ἀσκήσεως ……………… = MV X, 20.
366-369 <**Τ**ὸν ἔλεον σκορπίσας τοῖς πένησιν …> ….. = MV X, 20.
370-373 *Θεοτ.* **Τ**οῦ Λόγου κιβωτόν σε ἀνέδειξεν …... = MV X, 20.

*Ὠιδὴ στʹ. Ἱλάσθητί μοι, Σωτήρ,*
*πολλαὶ γὰρ (αἱ ἀνομίαι μου)*

374-380 **Τ**ὸν νοητὸν Γολιὰθ ……………………………. = MV X, 20.
381-387 **Τ**ὸν μέγαν εἰς ἀρετὴν ………………………… = MV X, 20.

---

L

In vv. **346-349** MV hoc trop. tradit: Ἐν τῇ πέτρα τῆς πίστεως (= MV X, 20).

**346** Ἐγκρατεῖας L – **349** ἐπ᾽οὐρανίου L

Ἐν διωγμοῖς εὐδοκῶν
αἰκείαις καὶ πειρασμοῖς καὶ δεσμοῖς,
ὑπὲρ τῆς ἀληθινῆς,
f. 23r μακάριε, πί/στεως,
τὸν στέφανον ἤλειφας
τῆς ὁμολογίας
ἐκ χειρὸς τοῦ ἀθλοθέτου Θεοῦ.

395-401 *Θεοτ.* **Σ**υνήλειφας ἀληθῶς ………………….. = MV X, 20.

*Ὠιδὴ ζ′. Οἱ ἐκ τῆς Ἰουδαίας*

402-409 **Ἐ**ν τῇ χλόῃ τῆς ἄνω …………………………... = MV X, 21.
410-417 **Τ**ῶν θαυμάτων τὴν αἴγλην …………………. = MV X, 21.
418-425 **Ἐ**ν τῇ ἄνω εἰσῆλθες …………………………... = MV X, 21.
426-433 *Θεοτ.* **Ὑ**πὲρ φύσιν καὶ λόγον ……………….. = MV X, 21.

*Ὠιδὴ η′. Ἑπταπλασίως κάμινον*

434-445 **Τ**οῖς τῶν δακρύων ῥεύμασι …………………. = MV X, 21.
446-457 **Ὡ**ς καρτερὸν ἀδάμαντα ……………………... = MV X, 21.
458-469 **Δ**ι᾽ ἐγκρατείας ὅσιε …
f. 23v … ὑπο/πιασμοῖς ………………………… = MV X, 21.
470-481 *Θεοτ.* **Ὑ**πὸ τὴν σκέπην, δέσποινα ………… = MV X, 21.

---

**392-394** cf. 2 Tim 4:8

---

**388-391** cf. SynaxEC 733-734:24-50

---

L

In vv. **388-394** MV hoc trop. tradit: Ἱδρῶσιν ἀσκητικοῖς … (=MV X, 20) – **389** αἰκεῖαις L – **390** ὑπερ L

*Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

| | | |
|---|---|---|
| | 482-490 | **Π**ηγήν σε τῶν θαυμάτων ὡς ἀληθῶς …….. = MV X, 21. |
| | 491-499 | **Ἐ**ξήνθησας ὡς φοῖνιξ πνευματικῶς ………. = MV X, 21. |
| | 500-508 | **Τ**ετέλεκας τὸν δρόμον ἀσκητικῶς ………… = MV X, 21. |
| | 509-517 | *Θεοτ.* **Σ**ὲ ὅπλον ἐν κινδύνοις καὶ πειρασμοῖς … |
| f. 24r | | … ὡς / πάντων ………………………… = MV X, 21. |

## 6
## In s. Dorotheum Episcopum Tyri et martyrem

*Μηνὶ τῷ αὐτῷ στʹ τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου, ἐπισκόπου Τύρου.*

*Κάθισμα.*
*Ἦχος γʹ. Πρὸς τὸ Θείας πίστεως ὁμολογ(ίᾳ)*

**Θ**είοις δόγμασιν ἀεὶ ἐκλάμπων ……………. = MV X, 17.

*Ἄλλον.*
*Ἦχος πλ. αʹ. Πρὸς τὸ Τὸν συνάναρχον λόγον*

**Ἀ**ρεταῖς διαλάμπων
καὶ θείοις δόγμασιν,
ὑπὲρ ἥλιον ἄθλοις,
πάτερ, ἐξήστραψας
καὶ ἐφώτισας τὴν γῆν,
μάκαρ Δωρόθεε,
ἀποδιώξας τὴν ἀχλὺν
πολυθεΐας καὶ δεινῆς
αἱρέσεως· διὰ τοῦτο
τὴν μνήμην σου τὴν ἁγίαν
περιφανῶς ἑορτάζομεν.

---

**8** Ἀρεταῖς διαλάμπων : cf. Latyšev II, 18:7-8: *…ἀνὴρ λόγῳ καὶ βίῳ καὶ ταῖς ἄλλαις ἀρεταῖς διαφέρων…*

---

LSWIaOBa

**Tit**. Τῷ αὐτῷ μη(νὶ) εʹ τοῦ ἁγίου· ἱερομ(ά)ρ(τυρος) δωροθέου· ἐπισκόπου τύρου O : Μηνὶ τῷ αὐτῷ εʹ· τοῦ ἐναγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν εὐσταθίου· π(ατ)ριἄρχου ἀντιοχείας· καὶ τοῦ ἁγίου ἰερομάρτυρος δωροθέου ἐπισκόπου τύρου Ia – στʹ : εʹ SWIaOBa – ἰερομάρτυρος W

**1-7** Θείοις - ἔλεος om. SWIaOBa

heirm. kath. PaAD, 483; HAD 481 – **8-18** incipit ed. in EfstrTam, 50 (1951) 255 (ex codd. Pb, f. 104v; Pd, f. 27r; Gb; Gc, f. 27v; Gd; Ge; S) – **8-18** post odem 6 in W – **8** Ἀρετᾶς Ia – **9** θεῖοις L – **10** ὑπερ L – ἄθλος Ia – **11** πάτερ om. W – **13** μάκαρ : π(άτ)ερ Ba – **16** αἰρέσεως L

*Τὸ κονδάκιον.*
*Ἦχος γʹ. Πρὸς τὸ Ἡ παρθένος σήμερον*

**Ἐ**ν ὁσίοις δόγμασιν,
πάτερ, ἐκλάμπων,
δῶρον ἅγιον
σαυτὸν προσῆξας,
πρότερον
ἐν τῇ ἀσκήσει καλῶς διῆξας,
δεύτερον
τοῦ μαρτυρίου στέφος ἀθλήσας,
καὶ νομίμως ἀπεδέξω
βραβεῖον νίκης
παρὰ Χριστοῦ τοῦ Θεοῦ.

*Ὁ οἶκος.*

**Μ**ετὰ Παύλου, σοφέ,
βοᾶς τοῦ θείου κήρυκος·
διεδέξω αὐτοῦ
καὶ τὸν δρόμον τὸν εὔτονον
ποιμάνας τὴν ποίμνην,
εἰς πόας ἐλαύνων
τῆς ὀρθοδόξου πίστεως, ὅσιε,
εἰς μάνδραν οὐράνιον
καὶ τὴν ψυχήν σου ἔθηκας, ὅσιε,
ὑπὲρ τοῦ λαοῦ, καθὼς ᾐτήσω αὐτόν,
ταθεὶς ἐν ξύλῳ·
διὸ καὶ γέγονας αὐτοῦ

---

**28-29** cf. 2 Tim 4:8 – **38-39** cf. Ioh 10:11

---

LSWIaOBa

heirm. kont. Grosdidier de Matons, *Hymnes* III, 50; Grosdidier de Matons, *Hymnes* III, 50 – In vv. **19-45** MV hoc trop. tradit: Ὀρθοδόξοις δόγμασιν, ἱερομάρτυς, κηρύξας… (=MV X, 18) – **19-45** deest SWIaOBa – **24** διήξας L – **31** θεῖου L – **39** ὑπερ L – καθῶς L – **40** ταθῆς L

μαθητὴς καὶ μιμητὴς
αὐτοῦ τὰ παθήματα καὶ τῆς δόξης.

*Ἀνακλώμενον*: Βραβεῖον νίκης
f. 24v παρὰ Χριστοῦ τοῦ Θεοῦ.

*Στιχηρά.*
*Ἦχος πλ. δʹ. Πρὸς τὸ Οἱ μάρτυρές σου, Κύριε, ἐπιλ(αθόμενοι τῶν ἐν τῷ βίῳ)*

46-52 / **Π**υξίον θείου Πνεύματος ........................ = MV X, 16.
53-59 **Ὁ** βίος σου ἰσάγγελος .............................. = MV X, 16.
60-66 **Α**ἱμάτων θείοις ῥεύμασι .......................... = MV X, 16.

*Ἄλλον.*
*Ἦχος βʹ. Πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε νε(κρὸν)*

**Π**οίμνης προϊστάμενος καλῶς,
πάτερ, λογικῆς ἐπὶ χλόην
ταύτης ἐποίμανας
ὀρθοδόξου πίστεως
καὶ ἀληθείας ἀεί·

---

**44-45** cf. 2 Tim 4:8 – **67-69** cf. AHG V, V, 170-172 (anonymi, in s. Silvestrum Papam Romae): *Ποίμνης κατάρχων λογικῆς ἔθρεψας αὐτὴν ἐν τῇ χλόῃ τῶν ἀθανάτων διδαχῶν…*

---

**67-71** cf. Latyšev II, 18:14-19: *…τὴν ἰδίαν ἐκκλησίαν διὰ τὸν ἐπικείμενον τότε βαρύτατον διωγμὸν τῶν προμημονευθέντων τυράννων καὶ τὴν πολλὴν κατὰ χριστιανῶν ἐκείνην σκοτόμαιναν δέει τῶν ἠπειλημένων κολάσεων καταλιπών, ἐν Ὀδυσσοπόλει γίνεται, σοφῶς ὁ σοφὸς τοὺς ἀγωνιζομένους γράμμασι καὶ μακρόθεν ὑπαλείφων πρὸς τὸ μαρτύριον καὶ στερροὺς τῇ πίστει καὶ γενναίους ἐγκαθιστῶν.*

---

LSWIaOBa

**42** μαθητῆς L – μιμητῆς L – **44-45** rubr. in L

heirm. stich. *Οἱ μάρτυρές σου, Κύριε* PaAD, 871 – vv. **60-66** ante **53-59** vv. ed. in MV.

heirm. stich. *Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν* Triod, 472 – **67-78** incipit ed. in EfstrTam, 50 (1951) 254 (ex codd. Pb, f. 104v; Pc, f. 12v) – **67-78** deest SWIaOBa

ὡς κριὸς δὲ ἐπίσημος
τυθεὶς ἀνεδείχθης
θῦμα εὐωδέστατον
τῷ σῷ δεσπότῃ Χριστῷ,
ᾧ νῦν παρεστὼς παρρησίᾳ,
αἴτησαι εὑρεῖν ἡμᾶς χάριν
πάντοτε καὶ ἔλεος, Δωρόθεε.

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Δῶρον Θεοῦ σε, παμμάκαρ πάτερ, σέβω· <Ἰωσήφ>.*

*Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ,*
*τῷ διαγαγ(όντι τὸν λαὸν αὐτοῦ)*

**Δ**ῶρον Θεῷ προσῆξας
σεαυτὸν τερπνὸν καὶ καθαρώτατον
διὰ βίου τελείου
καὶ σεπτοῦ μαρτυρίου, Δωρόθεε.

83-86 **Ὥ**ριμον ὥσπερ βότρυν ……………………….. = MV X, 17.
f. 25r 87-90 / **Ῥ**εύματα τῆς ἀπάτης ……………………….. = MV X, 17.
91-94 *Θεοτ.* **Ὄ**μβρισόν μοι, παρθένε ……………… = MV X, 17.

*Ὠιδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα*

95-98 **Ν**ύκτα ἀπεδίωξας …………………………….. = MV X, 17.
99-102 **Θ**αύμασιν ἐστήριξας …………………………. = MV X, 17.

---

**72-75** cf. AHG IV, XXV, 224-228 (Josephi, in s. Marinum): *Ὡς θῦμα δεκτόν, ὡς μύρον εὐῶδες, ὡς καθαρὰ προσφορά, σεπτὸν ὡς ἱερεῖον, ὡς κριὸς ἐπίσημος, σοφέ, τῷ πλαστουργῷ προσηνέχθης…*

---

**72** cf. Latyšev II, 19:2-11

---

L

**74** θύμα L – **76** ὦ L – παρεστῶς L – **77** εὐρεῖν L – **79-80** Δῶρον Θεῷ παμμάκαρ, σεαυτὸν προσῆξας καθαρώτατον MV X, 17

**79** προσήξας L

| | | |
|---|---|---|
| | 103-106 | **Ἔ**χρισέν σε Κύριος ……………………………. = MV X, 17. |
| | 107-110 | *Θεοτ.* **Ὅ**λην τὴν καρδίαν μου ……………….. = MV X, 17. |
| | | *Ὠιδὴ δ′. Εἰσακήκοα, Κύριε,* <br> *τῆς οἰκο(νομίας σου τὸ μυστήριον)* |
| | 111-114 | **Ὑ**ψουμένου κατέπτυσας …………………….. = MV X, 17. |
| | 115-118 | **Σ**υνετρίβη, Δωρόθεε ………………………….. = MV X, 17. |
| | 119-122 | **Ἐ**καρτέρεις θλιβόμενος …………………… = MV X, 17. |
| | 123-126 | *Θεοτ.* **Π**ειρασμῶν με διάσωσον …………….. = MV X, 17. |
| | | *Ὠιδὴ ε′. Ὁ ἐκ νυκτὸς ἀγνοίας* |
| | 127-130 | **Ἀ**ποσκοπῶν ἐμφρόνως ……………………… = MV X, 17. |
| f. 25v | 131-134 | / **Μ**οναδικῶς τὴν θείαν ……………………… = MV X, 17. |
| | 135-138 | **Μ**ὴ προσκυνήσας, μάρτυς …………………... = MV X, 17. |
| | 139-142 | *Θεοτ.* **Ἀ**νατολὴ ἡλίου ………………………… = MV X, 17. |
| | | *Ὠιδὴ στ′. Χιτῶνα μοι παράσχου φωτ(εινὸν)* |
| | 143-146 | **Κ**αρδίαν πυρωθεῖσαν ταῖς πνοαῖς …………. = MV X, 17. |
| | 147-150 | **Ἀ**γίων πολιτείαις ἱεραῖς ……………………... = MV X, 18. |
| | 151-154 | **Ῥ**ημάτων σου ὁ φθόγγος καὶ τερπνῶν …… = MV X, 18. |
| | 155-158 | *Θεοτ.* **Π**αρθένε, ὃν ἐκύησας Θεόν ………… = MV X, 18. |
| | | *Ὠιδὴ ζ′. Παῖδες Ἑβραίων ἐν καμίνῳ* |
| | 159-164 | **Ἄ**στρον πολύφωτον ὡράθης ………………….. = MV X, 18. |
| | 165-170 | **Τ**ρίβους εὐθείας διοδεύων …………………… = MV X, 18. |
| | 171-176 | **Ἔ**σβεσας ὄμβροις τῶν αἱμάτων …………….. = MV X, 18. |
| | 177-182 | *Θεοτ.* **Ῥ**ῦσαι δεσμῶν τῆς ἁμαρτίας |
| f. 26r | | τὴν ἀθλίαν μου ψυχὴν / θεογεννῆτορ … <br> ……………………………………….. = MV X, 18. |
| | | *Ὠιδὴ η′. Οἱ θεορρήμονες παῖδες (ἐν καμίνῳ)* |
| | 183-187 | **Σ**οβαρευόμενον ὄφιν ἐν κακίᾳ ……………... = MV X, 18. |
| | 188-192 | **Ἐ**ν βαθυτάτῳ σε γῆρα πρὸς ἀγήρους ……... = MV X, 18. |
| | 193-197 | **Β**ίον ἰσάγγελον ἔχων σὺν ἀγγέλοις ……….. = MV X, 18. |
| | 198-202 | *Θεοτ.* **Ὡ**ραιοτάτη, παρθένε, ἀνεδείχθης ….. = MV X, 18. |

*Ὠιδὴ θʹ. Τὸν προδηλωθέντα ἐν ὄρει*

203-208 **Ἴ**θυνας τὴν ποίμνην Χριστοῦ ……………… = MV X, 18.
209-214 **Ὡ**ς ἱερουργὸς ἱερὸς …………………………... = MV X, 19.

**Σ**τάδιον ἀνύσας πολλῶν
καμάτων καὶ πόνων
ἄπονον πρὸς θείαν ζωὴν
γηθόμενος μετέβης,
τῆς θεώσεως καθαρῶς νῦν μετέχων,
μάρτυς ἀξιάγαστε Δωρόθεε.

221-226 **Ἡ** θεοφεγγὴς μνήμη σου …………………… = MV X, 19.
227-232 *Θεοτ.* **Φ**έρουσα Χριστὸν … τῶν χειρῶν ἡμῶν
f. 26v / τὰς ἐπάρσεις ……………………………. = MV X, 19.

*Ἕτερος κανὼν εἰς τὸν ἅγιον ἱερομάρτυρα Δωρόθεον, φέρων ἀκροστιχίδα κατὰ στοιχεῖον, <ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου>.*

*Γεωργίου.*

*Ἦχος πλ. δʹ. Ὠιδὴ αʹ. Ἄσωμεν τῷ Κυρίῳ,*
*τῷ διαγαγόντ(ι τὸν λαὸν αὐτοῦ)*

**Ἄ**νωθεν τὰς ἐλλάμψεις
τὰς τοῦ Παρακλήτου εἰσδεξάμενος
ὁ σοφὸς ἱεράρχης
οἰκουμένης φωστὴρ ἀναδέδεικται.

---

L (vv. 215-220) — LSWIaOBa (a v. 233)

In vv. **215-220** MV hoc trop. tradit: Σὲ ὡς θεῖον δῶρον, Δωρόθεε ὁ τὰ δῶρα … (=MV X, 19). – **217** θεῖαν L

**Tit. kan.** ὁ κανὼν οὗ ἡ ἀκροστιχ(ὶς) κατὰ ἀλφάβητον S : ἕτ(ε)ρ(ος) κανὼν:· ὧ ἀκροστ(ι)χ(ίς):- *αβʹ*:- Ia: ὁ κανὼν WBa : κανὸν τοῦ ἁγίου O – κανῶν L – καταστοιχεῖον L – Γεωργίου[2] in marg. S : post tit. odae *αʹ* Ia : deest LWOBa

heirm. *αʹ* EE 224, nr 321, Joannis monachi

**233** ἐλλάμψας Ia – **236** ἀναδέδειξαι Ia

**Β**ίον τῶν ἀσωμάτων
ἐπὶ γῆς, Δωρόθεε, ἐζήλωσας
καὶ τοῖς ἔργοις καὶ τρόποις
ἰσαγγέλως ἐν κόσμῳ ἐβίωσας.

**Γ**νῶσιν τοῦ Παρακλήτου
θησαυρίσας, πάτερ, ἐν καρδίᾳ σου,
διδαχαῖς ὀρθοδόξοις
τοὺς ἀνθρώπους ἐνθέως ἐπλούτησας.

*Θεοτοκίον.*

**Γ**νώσεως ἐπληρώθη
θεϊκῆς τὰ σύμπαντα, θεόνυμφε,
τῷ ἀχράντῳ σου τόκῳ
καὶ τῆς πρὶν ἀγνωσίας ἀπήλλακται.

*Ὠιδὴ γʹ. Σὺ εἶ τὸ στερέωμα*

**Δ**ῶρον σε παρέσχετο
ὁ μεγαλόδωρος ἅπασιν
τοῖς ἐπὶ γῆς, διὰ σοῦ πλουτίζων
αὐτοὺς πίστει, Δωρόθεε.

---

**237-240** cf. AHG VIII, XIX, 6-10 (Georgii, in ss. Irenem, Agapen et Chioniam): *Βίον τὸν ἰσάγγελον ἐν σαρκὶ μετὰ τῶν συνάθλων καὶ ὁμοτρόπων σου, σεμνὴ Εἰρήνη, ἀσκοῦσα, ἀσωμάτων θείας χορείας κατηξίωσαι.*

---

LSWIaOBa

**237** τὸν ἀσῶματον W – **240** ἰσάγγελος WOBa – ἐν : τῷ S – **242** π(άτ)ερ θησαυρίσας WOBa

heirm. γʹ EE 224, nr 321, Joannis monachi

**245-246** Γνῶσιν τοῦ παρακλήτου· θεϊκῆς χρηστότητος τὰ σύμπαντα Ia – **246** θεόνυμφε : θεώσεως W – **252** πίστιν LSO

**Ἔ**κλυσας ἱδρῶσι σου
καθάπερ νάμασιν, ὅσιε,
τὴν μοχθηρὰν Ἑλλήνων θρησκείαν
καὶ ἀνθρώπους διέσωσας.

**Ζ**άλην ἀθεότητος
ἐπιτιμῶν, σοφέ, ηὔνασας
ταύτην· διὸ θείους πρὸς λιμένας
ἀνθρώπους ἐγκαθώρμησας.

*Θεοτοκίον.*

**Ἔ**λυσεν ὁ τόκος σου
τὰς ἐνοχὰς ἡμῶν, ἄχραντε,
καὶ ἑαυτῷ πάντας δικαιώσει
τοὺς ἀνθρώπους συνέδησεν.

---

**257-260** cf. AHG VIII, XIX, 31-35 (Georgii, in ss. Irenem, Agapen et Chioniam): *Ζάλην κατευνάσασα τὴν τῶν παθῶν νοῒ σώφρονι, πρὸς γαληνόν, Εἰρήνη, λιμένα ἀθλήσεως κατήντησας.* – **261-264** cf. AHG VIII, XIX; 36-40 (Georgii, in ss. Irenen, Agapen et Chioniam): *Ἔλυσεν ὁ τόκος σου τὰς ἐνοχὰς ἡμῶν, ἄχραντε, καὶ ἑαυτῷ δι' υἱοθεσίας πάντας πιστοὺς συνέδησεν.*

---

LSWIaOBa

**253** Ἔλυσας Ia – ἱδρῶσιν L : ἱδρῶτι Ia – **256** ἀν(θρώπ)ους καὶ διἔσωσας W – **258** επὶτιμῶν ηὔνασας σοφὲ O – ηὔνασας : ἴθυνας Ia : ἥνασας W? – **259** πρὸς θείους SIaBa – **260** τούς ἀν(θρώπ)ους καθώρμ<η>σας Ba – **263** ἑαυτῷ : σε αὐτῶ Ia : τῇ αὐτοῦ WBa : ἑαυτοῦ S : τὴν αὐτοῦ O – δικαιώσας O – **264** συνέδησεν : συνέσησεν Ia : ἀνέδεισεν W

*Ὠιδὴ δʹ. Εἰσακήκοα, Κύριε,*
*τῆς οἰκο(νομίας σου τὸ μυστήριον)*

**Ἡ** ἐν λόγοις σου ἔνστασις
καὶ ἐν τοῖς ἀγῶσι, πάτερ Δωρόθεε,
ἀθεότητος διέλυσεν
τοὺς συνδέσμους πάντας καὶ ἀπέπαυσεν.

f. 27r / **Θ**ησαυρὸν ἀναφαίρετον
ἔχοντες, Δωρόθεε, τὰ διδάγματά σου,
πλουτιζόμεθα ἐκ τούτων ἀεὶ
ἀνυμνοῦντες πόθῳ τὸν δοξάξαντά σε.

**Ἰ**σχυρὸν κατεπάλαισας
τῇ ὁμολογίᾳ ἐχθρόν, Δωρόθεε·
ἐν τῷ σκάμματι Χριστὸν γὰρ ἀεὶ
συνεργοῦντα εἶχες καὶ κρατύνοντα.

*Θεοτοκίον.*

**Ὡ**ς πηγὴν χαρισμάτων σε
ἔχοντες ἀνέκλειπτον, θεοδόξαστε,
ἀπαντλοῦμεν τὰ ἰάματα,
ἀνυμνοῦντες τὴν θείαν σου κύησιν.

---

**277-280** cf. AHG VIII, XIX, 56-60 (Georgii, in ss. Irenem, Agapen et Chioniam): *Ὡς πηγὴ ἀνεξάντλητος οὖσα τῶν θαυμάτων, θεοχαρίτωτε, ποταμοὺς τῶν ἰαμάτων ἡμῖν ἀναβλύζεις ἀεὶ σὲ γεραίρουσιν.*

---

LSWIaOBa

heirm. δʹ EE 225, nr 322, Cosmae monachi

**268** ἀπέλασεν Ia – **271** πλουτιζόμενοι SIaOBa : πλουτιζώμενον W? – **272** ἀνυμνοῦμεν SIaOBa – τὸν δοξάσαντά σε : τῶν σέ δοξάσαντα Ia – **274** τῆς ὁμολογίας WIaO – ἐχθρῶν W – **275** +σκάμματι χ(ριστὸ)ν γὰρ ἀεὶ+ W – **276** ἐνεργοῦντα L – ἔσχες Ia – **278** θεόδόξασθε W : θεοδόξασται O : θεονύμφευτε Ba – **280** ἀνυμνοῦντες παρθένε ὃν ἐκύησας S : ἀνυμνοῦντες κόρη ὃν ἐκύησας Ba

*Ὠιδὴ ε′. Φώτισον ἡμᾶς*
*τοῖς προστάγμα(σί σου, Κύριε)*

**Κ**ράτος ἐκ Θεοῦ
δεδεγμένος, πάτερ ὅσιε,
παρατάξεις τῶν ἀθέων ἐχθρῶν
κατετροπώσω
καὶ πιστοῖς νίκην ἐβράβευσας.

**Λ**ύχνος φαεινὸς
προτεθεὶς ἐν ἐκκλησίᾳ Θεοῦ,
τοὺς πιστοὺς ἐχειραγώγησας
πρὸς φῶς νοητὸν
τὸ τῆς πίστεως, Δωρόθεε.

**Μ**ύρα νοητὰ
ἐκ τοῦ στόματός σου βλύζοντα,
τοὺς ἀνθρώπους εὐωδίασεν
πνοῇ τῶν θείων
διδαγμάτων σου, Δωρόθεε.

*Θεοτοκίον.*

**Ῥ**εῖθρα νοητὰ
χαρισμάτων ἀναβρύοντα,
ἐκ σοῦ, πάναγνε, ἀρδεύει ἀεὶ
τοὺς ἀνυμνοῦντας
θεομήτορα κυρίως σε.

---

LSWIaOBa

heirm. ε′ EE 224, nr 321, Joannis monachi

**285** νίκην πιστοῖς L : πιστοῖς νίκην cett. : πιστοῖς νίκην in textu metri gratia – **287** πρόστεθείς Ia – Θεοῦ : χ(ριστο)ῦ WO – **292** βλύσαντα Ia – **293-297** τοὺς-ἀναβρύοντα om. WIaO – **294** πνοὴ LSBa – θεῖων L – **298** ἐκ σοῦ, πάναγνε : παμμακάριστε WO – ἐκ σοῦ : εξοῦ Ia – ἀρδεύεις Ia – **300** τὸν δοξάσαντά σε κ(ύριο)ν W : τὸν δοξάσαντά σε κ(ύρι)ε O –

Post troparium ab vv. **291-292/298-300** (vv. 293-297 om.) WO hoc theotokion tradit: Ῥῦσαι με, ἁγνή, τῶν ἀεὶ ἐνεδρευόντων με… (=Appendix IV, vv. 1-5).

*Ὠιδὴ στʹ. Ἱλάσθητί μοι, σωτήρ,*
*πολλαὶ (γὰρ αἱ ἀνομίαι μου)*

**Ν**εκρώσας τὰ ἐπὶ γῆς
τοῦ σώματος μέλη, ὅσιε,
ἐζώωσας τὴν ψυχὴν
καὶ νοητῶς ἐνεούργησας·
διό σε ἰσάγγελον
οἱ πιστοὶ τιμῶμεν
καὶ πόθῳ θείῳ γεραίρομεν.

Ξοάνων τῶν βδελυκτῶν
κατέπαυσας τὰ σεβάσματα
καὶ κατέσκαψας βωμούς,
Δωρόθεε, ἀθεότητος
καὶ πύργοις ἐτείχισας
τοῖς τῶν σῶν δογμάτων
ἐκκλησίας πᾶν τὸ πλήρωμα.

**Ὁ** φθόγγος σου εἰς τὴν γῆν
f. 27v διαδραμὼν πᾶσαν, ἤ/θροισεν
ἀνθρώπους εἰς τὴν Θεοῦ
ἐπίγνωσιν, ὅσιε·
διὸ σὺν ἁγίοις σε
ἀποστόλοις πόθῳ
εὐφημοῦμεν καὶ δοξάζομεν.

---

LSWIaOBa

heirm. στʹ EE 220, nr 315, Joannis monachi Damasceni

**301** τὰς W – **304** καὶ ἐκαινοποίησας SBa : καὶ ταύτην ἀνέωσας Ia : θεῖαις ἀναβάσεσιν W : θείαις ἀναβάσεσι O – **305** διὄσε εἰς ἄγγελων W : διὄσε ἰσάγγελον O – **307** καὶ γεραίρομεν ἐνάσμασιν W : καὶ γεραίρωμεν, εν ἄσμασι O : καὶ γεραίρομεν ἐν ἄσμασι Ba – θεῖω L – γεραίρομαι Ia – **309** κατέπτυσας L – **310** καὶ κατέσκαψας : κατέσκαψας τοὺς W : κατέσκαψας δὲ O – **311** τοῦς τῆς ἀθεὅτητος W : ἀθέων δωρέθεε Ia – Δωρόθεε : π(άτ)ερ Ba – **312** καὶ πύργος ἀκλόνητος W – πύργον Ia – **313** τῆς W – **316** πάντας Ba – **317** ante ἀνθρώπους [[συν?]] add. O – εἰς : πρὸς W – **319** συναγίοις L

*Θεοτοκίον.*

**Γ**εγόναμεν οἱ θνητοὶ
ἐν μετοχῇ θείας φύσεως
διὰ σοῦ καὶ τῆς φθορᾶς
ἐρρύσθημεν, ἄχραντε·
Θεὸς γὰρ ἐνδέδυται
τὴν ἀνθρώπων φύσιν
ἐξ αἱμάτων σου πανάγνων, ἁγνή.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας*

**Π**αλαιὸς μὲν τὰς φρένας
καὶ τὸ σῶμα ὑπάρχων,
πάτερ Δωρόθεε,
ψυχῇ δὲ νεαζούσῃ
ἐνίκησας τὴν πλάνην

---

**329-330** cf. Latyšev II, 19:8-11: *…ἐν βαθυτάτῳ γήρᾳ τὸν τῆς μαρτυρίας ἐκομίσω σου στέφανον, ἐν αὐτῷ τῷ πάσχειν τὴν ψυχὴν τῷ πλάσαντι παραθέμενος, εἰς ἑπτὰ πρὸς τοῖς ἑκατὸν τῆς ζωῆς σου χρόνους παρεκταθείσης…* [cf. SynaxCP 732:14-733:1; Menol 100B]

---

LSWIaOBa

**323** μετοχὴ L : μετοχοὶ W : μετοχῇ p.c. Ia (ex μετοχοὶ) – θεῖας L – **324** καὶ τὴς φθορὰς διὰ σοῦ W : καὶ τῆς φθορᾶς διασοῦ O – **325** ἐρύσθημεν L – **326** θ(ε)ῶ W – **327** ἀν(θρώπ)ον S (+…+ in marg.) – ἐξαιμάτων L – χ(ριστ)ὲ ante *πανάγνων* add. W – *ἀγνὴ* L

Post odem 6 et kathisma Ἀρεταῖς διαλάμπων (vv. 8-14) W synaxarium tradit: Inc. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου, ἐπισκόπου Τύρου, ὃς ἦν κατὰ τοὺς χρόνους Λικινίου καὶ Κωνσταντίνου. Des. ἦν γὰρ ἑκατέρων ἔμπειρος τῶν γλωσσῶν, σπουδῇ συντόνῳ καὶ φύσεως ἐπιτηδειότητι (=*AASS* Junii I 434; MV X, 18).

Post odem 6 Ia hoc synaxarium tradit: Μηνὶ τῷ αὐτῷ ε΄ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου ἀρχιεπισκόπου Τύρου. Ὁ Δωρόθεος κἂν φραγγέλωμαι λέγει λείπουσι πολλὰ πρὸς τὰ Χριστοῦ μου πάθη (=*AASS* Iunii I, 436; MV X, 18). Πέμπτη Δωροθέοιο δέμας πληγῇσι δαμάσθη (=MV X, 18). Δωρόθεος ὁ ἀοίδιμος ἀνὴρ … (=Menol 100A-B – καὶ ἑκατὸν ἑπτὰ ἐτῶν ὑπάρχων Menol, ρ΄ γὰρ ἐτῶν ὑπῆρχεν Ia).

heirm. ζ΄ EE 224, nr 321, Joannis monachi

**332** την ψυχὴν δὲ ἀκμαῖος Ba – ψυχὴ L

καὶ ἐβόας Χριστῷ τῷ Θεῷ·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

**Ῥ**ητορεύων τοὺς λόγους
τῆς Χριστοῦ εὐσεβείας,
πάτερ Δωρόθεε,
ἀπέφραξας τὰ χείλη
εἰς αὐτὸν βλασφημούντων
καὶ ἐβόας Χριστῷ τῷ Θεῷ·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

**Σ**υνετρίβη τὰ τόξα
ἐν τῇ σῇ καρτερίᾳ,
πάτερ Δωρόθεε,
τὰ τῶν ἀντικειμένων
καὶ λόγοις σου ἐνθέοις
λαοὶ ἐδυναμώθησαν,
ὑμνολογοῦντες Χριστὸν
εἰς πάντας τοὺς αἰῶνας.

---

**335-336, 343-344** EE 224, nr. 321, vv. 42-43 [cf. Dan 3:26, 52] – **345** cf. Gen 49:24; Ps 36:15

---

**349-350** cf. notationem ad vv. 67-71

---

LSWIaOBa

**334** καὶ ἀπαύστως ἐκραύγαζες S – **335-336** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέ)ρων (ἡμῶν-εἶ) SO : ο τῶν (πατέρων – εἶ) Ba – ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς εὐ(λ)ο(γητὸς εἶ) W : ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς εὐ(λ)ο(γη)τ(ὸς εἶ) Ia – **340-344** ἀπέφραξας - εἶ om. L – **341** εἰς : τῶν Ba – εἰς τοῦτον WO – βλασφημοῦντα Ia – **342** καὶ ἀπαύστως ἐκραύγαζες WIaOBa (cf. v. 334) – **343-344** ὁ τῶν π(ατέ)ρων (ἡμῶν – εἶ) SW : ὁ τῶν (πατέρων - εἶ) O : (ὁ – εἶ) Ia – **345** Συνενετρίβη Ia – **346** ἐν τῇ σῇ : τῇ ἐν σοὶ Ba – **351-352** ὁ τῶν π(ατέ)ρων ἡμῶν (Θεὸς εὐλογητὸς εἶ) W : ὁ τῶν π(ατέ)ρων θ(εό)ς βοῶντες εὐ(λ)ο(γη)τ(ὸς εἶ) Ia – **352** εἰς <πάντας> τ(οὺς αἰῶνας) L : εἰς πάντ(ας τοὺς αἰῶνας) O : εἰς πάντας (τοὺς αἰῶνας) Ia

*Θεοτοκίον.*

**Ἱ**λασμόν σε πταισμάτων
καὶ σωμάτων ἴαμα
ἔχοντες, μόνη ἁγνή,
τῇ σκέπῃ σου ἀπαύστως
προστρέχομεν βοῶντες
ἀσιγήτως καὶ κράζοντες·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

*Ὠιδὴ η΄. Τὸν βασιλέα τῶν οὐρανῶν (ὃν ὑμνοῦσι)*

**Τ**οῦ Παρακλήτου ὡς ἐκ πηγῆς ἀπαντλήσας
τῆς σοφίας νάματα, θεόφρον,
ἤρδευσας ἐνθέως Χριστοῦ τὴν ἐκκλησίαν.

**Ὑ**περαστράπτων τῶν ἀρετῶν θείῳ φέγγει,
καθαρῶς τῷ κτίστῃ, ἱεράρχα,
τὴν μυστικωτάτην προσήγαγες θυσίαν.

**Φ**ῶς νοητόν σε τὸ τοῦ Χριστοῦ καταυγάζων
ἐν νυκτὶ τοῦ βίου, ἱεράρχα,
φαεινὸν λαμπτῆρα ἀνέδειξεν ἐν κόσμῳ.

---

**353-355** cf. AHG VIII, XIX, 133-135 (Georgii, in ss. Irenen, Agapen et Chioniam): *Ἱλασμόν σε πταισμάτων καὶ ψυχῶν ἰατρεῖον καὶ τῶν σωμάτων, ἁγνή…* – **359-360** EE 224, nr. 321, vv. 42-43 [cf. Dan 3:26, 52]

---

LSWIaOBa

**353** Ἱλασμὸν σε L : Ἱλασμῶν σε W – **354** ἴαμα L – **356** σκ[έ]πει lac. O – **357** πρὸστρέχοντες βοῶμεν W – **358** καὶ ἀσιγήτως κράζομεν S : καὶ ἀσιγήτως κραυγάζομεν Ia : καὶ ἀσίγητα κράζομεν Ba : ἀσιγήτος κραυγάζοντες W : ασιγήτως κραυγάζοντες O – **359-360** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς (εὐλογητὸς εἶ) S : ὁ τῶν (πατέρων - εἶ) WO : ὁ τῶν π(ατέ)ρων (ἡμῶν – εἶ) Ia

heirm. η′ EE 224, nr 321, Joannis monachi

**361** ἀντλήσας W – **364** Ὑπὲρ ἀστράπτων SWO – τῶν ἀρετῶν : τῶν νοερὸν Ia – θεῖω L – **365** καθαρῶ W – **367** καταυγάσαν SBa – **369** τὴν μυστικωτάτην προσήγαγες θυσίαν O – φαεὶνῶν Ia – ἐν : τῶ Ia

*Θεοτοκίον.*

**Ὁ** ἐκ μὴ ὄντων παραγαγὼν πᾶσαν κτίσιν
τοῦ Θεοῦ Υἱός, ἐκ σοῦ ἀρρήτως
γεννηθείς, παρθένε, ἀνθρώπους ἀναπλάττει.

*Ὠιδὴ θʹ. Κυρίως Θεοτόκον*
*σὲ ὁμο(λογοῦμεν)*

f. 28r / **Χ**αρίτων σε ἐνθέων
οἶκον, ἱεράρχα,
ὁ δωροδότης Χριστὸς ἀπειργάσατο,
ἐξ οὗ πλουτίζει ἀνθρώπους
τὰ θεῖα δόγματα.

**Ψ**υχῶν σε καὶ σωμάτων
ἰατρὸν ὁ κτίστης,
πάτερ Δωρόθεε, πᾶσι παρέσχετο
τοῖς τὴν αὐτοῦ εὐσπλαγχνίαν
πόθῳ δοξάζουσιν.

**Ὡ**ς κλίμακα ἀγῶνας
τῆς ὁμολογίας
καὶ ἀρετὰς καθιδρύσας, Δωρόθεε,
εἰς οὐρανίους παστάδας
χαίρων ἀνέδραμες.

---

LSWIaOBa

heirm. θʹ EE 224, nr 321, Joannis monachi

**371** Υἱὸς : υἱούς Ia – καὶ post ἀναπλάττει add. O – **373** Χαρίτωσον ἐνθέως Ia – **375-377** ὁ δωροδότης - δόγματα : τὸν σὸν ἐνῶ οἱ πιστοὶ καταφεύγομεν· τῶν ἰαμάτων ἀντλοῦμεν, ἄφθονα νάματα Ia – **376** ἐξ οὗ : ἐξὼν W : ἐξ ὧν Ba : ἐξ ὧν O — **378** σε : τε W – **379** ἰάτρῶν W – **380** πᾶσιν L – **381** τοῖς : τῆς W – **383** Ὡς κλῆμα σε ἀγνείας Ia – κλήματα W – **385** ἀρετῆς WOBa – **386** οὐ(ρα)νοὺς W

*Θεοτοκίον.*

Ὑπέρκειται ὁ πόθος
ἐφετῶν ἁπάντων
ὁ καθαρός σου, παρθένε πανύμνητε,
ἐν τοῖς κυρίως ὑμνοῦσιν
σὲ θεομήτορα.

---

LSWIaOBa

**389** ἀπάντων L

ἄνευ χειρὸς ἀνθρώπου λίθος,
ὁ τοῦ παντὸς Κύριος,
Μαρίαν τὴν ἄχραντον,
ὕμνοις τιμήσωμεν.

*Ὠιδὴ γ΄. Ὁ στερεῶν βροντὴν καὶ (κτίζων πνεῦμα)*

**Ὀ**μβροτοκοῦσα πέφηνε νεφέλη
f. 65r ἡ γλῶσσα σου, / Μεθόδιε,
τὰς μὲν καρδίας τῶν εὐσεβῶν

---

**347-348** cf. Exod 40:18-23 – **349-351** cf. Dan 2:34

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

**341** τῆς ἐκκλησίας LHPcIVb : τῇ ἐκκλησίαν W : τῇ ἐκκλησίᾳ cett. – γέγονας Fb – **343** αἱρέσεων L – **346** καταρδεῦον CB – **349** ὄρος L – οὗ om. W – **350** χειρῶν ScLa – **352** τὴν ἄχραντον μαρίαν Vb

heirm. γ΄ EE 104, nr 147, Andreae Cretensis Jerosolymitanis

**354** Ὀμβροτοκοῦσα L : Ὡς ὀβροτόκος W – πέφηνεν L – **355** Μεθόδιε : θεσπέσιε Pc

καταρδεύουσα τῷ λόγῳ,
τῶν ἀσεβῶν δὲ πάντοτε
ζιζάνια συμπνίγουσα.

**Ὀ**ρθοτομῶν τῆς πίστεως τὸν λόγον,
μαστίγων πεῖραν ἔλαβες
καὶ ζοφωτάτην, πάτερ, εἱρκτὴν
κατοικεῖν κατεδικάσθης·
διὸ πρὸς φῶς ἀνέσπερον
μετέστης εὐφραινόμενος.

**Τ**οὺς τῶν μαρτύρων ἄθλους ἀνυμνήσας,
τῆς τούτων ἐκοινώνησας
ἀδιαδόχου, πάτερ, χαρᾶς,
ὡς διπλῶς ὑπεραθλήσας
ταῖς ἀεννάοις θλίψεσιν
καὶ μάστιξι, Μεθόδιε.

---

**361-363, 371** cf. PG 100, 1248C-1249A: *...Ὁ δὲ* [imperator Michael] *... αὐτὸν ... ὡς ταραχῆς φησιν αἴτιον καὶ σκανδάλων, περὶ τὰς ἑπτακοσίας ἀνήρτισε μάστιγας, καὶ οὕτως ἡμιθνῆτα λοιπὸν καὶ τὰ ἔσχατα πνέοντα, πρῶτον μὲν φρουρᾷ, ἔπειτα δὲ ἔν τινι τάφῳ εἰς τὸ τοῦ ἀποστόλου Ἀνδρέου νησίον κατέκλεισεν, ἐν ᾧ τάφῳ καὶ ἕτερος ἐπὶ τυραννίδι κατακέκλειστο· ὡς πᾶσαν αὐτῷ ἀθυμίαν πανταχόθεν ἐγγίγνεσθαι, ἀπὸ τῶν πληγῶν, ἀπὸ τοῦ ἀθεράπευτον εἶναι, ἀπὸ τοῦ καταδικασθέντος ἀγροίκου ἀνδρός, ἀπὸ τῆς* [sic] *τοῦ τάφου στενοχωρίας, καὶ τὸ δεινότερον, ἀπὸ τοῦ ἀφεγγοῦς σκότους...*; cf. PG 100, 1252A-B: [imperator Theophilus] *τοῖς ἱμᾶσι ταθῆναι κελεύσας, γυμνοῖς τοῖς νώτοις αὐτοῦ καὶ τοῖς στέρνοις ὑπὲρ τὰς ἑξακοσίας κατέφερε μάστιγας...* [cf. SynaxEC 749-750; Menol 500]

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

**358** δὲ om. Vb – **359** συμπνίγουσα ζιζάνια FFaFbKGbSaDGcGdNNaPdDaIScSdKa : συμπνίγουσα τα ζιζάνια La – συμπνίγοντα H : πνίγουσα CB : ξηραίνουσα Pc – **360** Ὀρθοτομῶν L – τῶν λόγων W : τῶ λόγω IVb – **361** ἔλαβον Pa – **365** μετέβης CB : μετετέθης W – **366** ἀνύμνησας W – **369** διττῶν W – **371** μάστιξιν L : μάστηξ<ι> W – Μεθόδιε : ξεόμενος PPa

372-377 *Θεοτ.* **Ὁ** Γαβριὴλ τὸ χαῖρε τῇ παρθένῳ
μηνύων ἀπεφθέγγετο …
…………………..... = AHG VII, XXX, 95-100 (Andreae).

*Ὠιδὴ δʹ. Εἰσακήκοα, ὁ Θεός,*
*τὴν ἀκο(ήν σου καὶ ἐφοβήθην)*

**Τ**ῆς σοφίας τῷ νοητῷ
κρατῆρι βάψας τὰ χείλη, πάτερ,
ποταμοὺς ἡμῖν ἀνέβλυσας
διδαγμάτων, ὅσιε,
τοῖς εὐσεβῶς τελοῦσι τὴν μνήμην σου.

**Ε**ὐπροσήγορος, ποθεινός,
ἡδὺς τῷ λόγῳ, ἁπλοῦς τοῖς τρόποις,
τοῖς τοῦ Πνεύματος χαρίσμασιν,
ἱεράρχα ὅσιε,
πεπλουτισμένος ὤφθης, Μεθόδιε.

**Σ**ειρομάστη τῷ νοητῷ
τοῦ θείου λόγου τοὺς ἐν τῷ μύσει

---

**383-384** cf. infra, notationem ad vv. 440-441 – **388-392** cf. PG 100, 1252C: ...[imperator Theophilus] *ἔνδον τοῦ παλατίου μένειν σὺν τοῖς γνησίοις προστάττει θεράπουσιν. Ὁ δὲ τοῦ θεοῦ ἄνθρωπος καὶ οὕτω μᾶλλον ἐκράτει, ἢ ἐκρατεῖτο· τοὺς γὰρ οἰκειωτάτους τῷ βασιλεῖ πάντας ὀρθοδοξεῖν ἐξεπαίδευσε, καὶ τὸ τοῦ βασιλέως δὲ ἄκρατον περὶ τὸ δύσφημον καὶ ἀνέπαφον εἰσκεκραμένον πως καὶ ἀμφίδοξον μετεσκεύασεν, ὡς μήτε τῷ συνήθει θράσει κατὰ τῶν ὀρθοδόξων χωρεῖν, μήτε μὴν τῇ οἰκείᾳ δόξῃ ὡς ἀμωμήτῳ καταθαῤῥεῖν.*

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

heirm. δʹ EE 107, nr 150, Andreae Cretensis Jerosolymitanis

**378-379** Τῆς - κρατή(ρι) : scr. bis in Vb – **379** κρατῆρα Ga – **380** ἡμῖν om. CB – **382** σου : αὐτοῦ P – **383** Εὐπροσήγορος p.c. Fa (ex Σὺ προσήγορος) : Σὺ προσήγορος FbKSaDGdN?NaSdLa : Σὺ προσηγόρος Sc : Οὐ πρὸσήγορος Vb : Οὐ προσήγορος Ka – ποθηνός L – **384** τὸν λόγον FI : τῶν λόγων Vb – ἀπλοὺς L – τῶ τρόπω Da – **387** ὤφθης ἀοίδιμε CB – **388** Συναθλήσας τοῖς ἀθληταῖς PPa – Συρομάστη D : Χειρομάστη p.c. La – νοήτῶν W – **389** θεῖου L – τῷ μίσει CBVb : τῇ πλάνῃ PPa

τῆς αἱρέσεως ὑπάρχοντας
ἐκκεντήσας, ἔστησας
τῆς ἀσεβείας θραῦσιν, Μεθόδιε.

*Θεοτοκίον.*

**Χ**αῖρε πύλη νοητή,
ἐξ ἧς προῆλθεν ἀρρήτῳ λόγῳ
βασιλεὺς ὁ ἐπουράνιος
καὶ τηρήσας ἄμωμον
ἐσφραγισμένην πάλιν κατέλιπεν.

*Ὠιδὴ ε΄. Ἀνάτειλόν μοι, Κύριε*

**Φ**ωτὶ λαμπαδουχούμενος
τῷ τρισηλίῳ, ἔνδοξε,
τὴν ἀχλυώδη καὶ καχέσπερον
αἱρέσεως ὁμίχλην
εὐσεβῶς διέφυγες
καὶ ἀστὴρ γεγένησαι,
πίστεως λάμπων ἀστραπαῖς.

---

**393-397** cf. AHG IV, LVII, 63-68: *Χαῖρε πύλη τῶν οὐρανῶν, δι᾽ ἧς διῆλθεν ἀρρήτῳ λόγῳ βασιλεὺς ὁ ἐπουράνιος καὶ τηρήσας ἄμωμον, ἐσφραγισμένην πάλιν κατέλιπεν.* [cf. Ez 44.1-2]

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

**390** τῆς αἱρέσεως L : τῶν αἱρέσεων CB – **391** ἔστησας : ὅσιε PPa – **392** ἀσεβεῖας L – θραῦσιν : θράσος FFaFbGbSaDGcGdNNaDaIScKaSdLa : θράσσος KPd : θραύσει Vb : θραύσας W – Μεθόδιε : ἀοίδιμε B – **393** Χαίρε L – ἡ πύλη I – πύλη LH : πύλη ἡ cett. – **397** πάλιν : πύλην Vb : μόνην La – κατέλειπεν W

heirm. ε′ EE 106, nr 149, Andreae Cretensis

**401** αἰρέσεως L : αἱρέσεων CBPc : αἰρέσεων W – ὀμίχλην L – **402** διέφυγες : διέλυσας CB : ἀπέλιπες Pc – **403** γεγέννησαι L

f. 65v / **Ἠ**κονημένος κάλαμος
τῷ Πνεύματι ἡ γλῶσσά σου
ὡς ὀξυγράφου γραμματέως,
Μεθόδιε, ἐδείχθη,
ἐν πλαξὶ χαράττουσα
καρδιῶν τῆς χάριτος
τὸν θεῖον νόμον ἀψευδῶς.

**Τ**ὰ τῶν δακρύων ῥεύματα
ταῖς ὁλονύκτοις στάσεσιν
ὡς μαργαρίτας φέρων, ὅσιε,
ἐν τούτοις ἁμαρτίας
τοὺς κρουνοὺς ἐξήρανας
καὶ τοῦ θείου Πνεύματος
δοχεῖον ὤφθης καθαρόν.

Θεοτοκίον.

**Λ**υτροῦσαι ταῖς πρεσβείαις σου
ἐκ πάσης περιστάσεως
τοὺς καταφεύγοντας τῇ σκέπῃ σου,
Μαρία θεοτόκε·
σὺ γὰρ τῶν τιμώντων σε
προστασία ὑπάρχεις
καὶ ἐλπὶς μετὰ Θεόν.

---

**405-408** cf. Ps 44:2 – **409-411** cf. Exod 32:15-16

---

**405-408** cf. PG 100, 1245B: *…πᾶσαν γραμματικῆς τέχνην καὶ ἱστορίας, ὀρθογραφίαν τε καὶ ὀξυγραφίαν κατωρθωκὼς ἐκ παιδός…* [cf. Ps 44.2]

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

**406** ἡ γλῶσσα σου τοῦ πν(εύματο)ς La – τῷ Πνεύματι : τῷ π(ατ)ρὶ C : τοῦ πν(εύματο)ς FFaFbGbDKSaGcGdNNaPdIScSdDaKa – γλῶττα Sd : γλώττττα Sc – **408** μεθόδιος Sc – ἐδείχθης WVb – **411** νόμον : ὄμβρον FFaFbKGbSaDGcGdNNaPdDaIScKaSd : ὅμβρον La – ἀψευδῶς : εὐσεβῶς PPa – **412-418** om. PPa – **413** ταῖς om. W – **414** μαργαρίτης Pc – **416** κρουνοῦς L – **419** Λυτροῦσαι ταῖς : Λυτρούμενος H : Λύτρωσαι ταῖς WVb – πρεσβεῖαις L – **420** ἐκ : καὶ Vb – **421** τῆς W – **423** om. Sc – τιμῶντων L : τιμών Ga – **424** ὑπάρχεις : πέφηνας GcKa

*Ὠιδὴ στʹ. Ζάλη με λογισμῶν καταλαβοῦσα*
*εἰς βυθὸν κατήγαγεν*
*ἀμέτρων ἁμ(αρτημάτων)*

**Μ**ελίσσης τὸ φιλόπονον ζηλώσας,
τῆς γραφῆς συνήθροισας
τὰ ἄνθη ὥσπερ ἐν σίμβλῳ,
τῇ καρδίᾳ σου ταῦτα μουσουργῶν
καὶ πᾶσιν ἀναβλύζων
τὸν γλυκασμὸν τῶν δογμάτων σου.

**Λ**ογίων τῶν τοῦ Πνεύματος πλησθεῖσα
ἡ γλῶσσα σου, πάνσοφε,
τὰς γλωσσαλγίας καθεῖλεν
τῶν βλασφήμων, κηρύττουσα Χριστοῦ
τὴν σάρκωσιν τιμᾶσθαι
καὶ τῆς σαρκὸς τὸ ὁμοίωμα.

---

**426-428** cf. PG 100, 1253B: *…Ἑπτὰ τοίνυν ψαλτήρια πλήρη ὁ σοφὸς Μεθόδιος ἔγραφε, καθ᾽ ἑκάστης τὸ ἓν ἑβδομάδος νήστης ἀποπληρῶν…* [cf. Greg. Naz., *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi* (ed. F. Boulenger), 13.1: *Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῆς ἐνταῦθα παιδεύσεως, ἔδει δ' αὐτὸν μηδὲν τῶν καλῶν διαφυγεῖν, μηδὲ τῷ φιλοπόνῳ τῆς μελίσσης ἀπολειφθῆναι συλλεγούσης ἐκ παντὸς ἄνθους τὰ χρησιμώτατα, ἐπὶ τὴν Καισαρέων πόλιν ἐπείγεται, τῶν τῇδε μεθέξων παιδευτηρίων…*]

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

heirm. στʹ EE 107, nr 150, Andreae Cretensis Jerosolymitanis

**427** γραφῆς σου P – **428** σίβλω FPPaIKa : συμβλω C : σύμβλω Vb – **429** τῆς καρδίας PW – μισουργῶν W : μισουργὼν Pa – **430** καὶ om. FI – **431** τῶ γλυκασμῶ PPa : τὸν γλυκασμῶν W : τὸν ποταμὸν FFaFbKGbSaDGcGdNNaPdDaISdKaScLa – **432** τῶν om. PVbLa – **433** πάνσοφε : βλασφήμων Da : πάντοτε W – **435** τῶν βλασφήμων : πάνσοφε Da – χ(ριστὸ)ν W?FbVb : χ(ριστ)οῦ p.c. Pa [ex χ(ριστὸ)ν] – **436** τιμάσθαι K?WLa : τιμῶσα PPa – **437** τοῖς Vb

**Π**ρώην μὲν ἐν καθέδρᾳ πρεσβυτέρων
αἰνέσας τὸν Κύριον,
ἀρχιερέων ἐν θρόνῳ
ἐπ᾽ ἐσχάτων ἀνύψωσας σαυτόν,
ποιμάνας θεαρέστως
τὸν ἐκλεκτὸν τούτου, πάτερ, λαόν.

*Θεοτοκίον.*

444-449 **Μ**όνην σε τοῦ Θεοῦ ἡμῶν μητέρα,
θεοτόκε δέσποινα,
ἡ κτίσις πᾶσα δοξάζει …
............................. = AHG V, XXX (1), 282-288 (Andreae).

*Ὠιδὴ ζʹ. Τὸν ἐν καμίνῳ τοὺς παῖδας*
*ἀφλέκτους (τηρήσαντα)*

**Τ**ῷ δροσισμῷ τῆς ἐνθέου
ἀγάπης κατέσβεσας
f. 66r τῶν / παθῶν, παναοίδιμε,
τὴν ἔμπυρον κάμινον·

---

**438-439** cf. Ps 106:32 – **450-453** cf. Dan 3:19-50

---

**440-441** cf. PG 100, 1253A-B: *…τῷ θρόνῳ Κωνσταντινουπόλεως συμπεφορημένου … ἐζητεῖτο λοιπὸν ὁ ἄξιος τῷ θρόνῳ ἐπιστηριχθῆναι μέλλων… Πολλῶν τοίνυν μεγάλων καὶ ἁγίων ἀνδρῶν προβεβλημένων, μόνος προκρίνεται καὶ καθίστατι ὁ ἀθλοφόρος Μεθόδιος, ἀσκήσει πάντας ὑπερβάλλων, καὶ Γραφῶν ἐμπειρίᾳ, καὶ προσφορᾶς εὐγλωττίᾳ, καὶ ἄθλων ὑπομονῇ, καὶ φρονήματος μετριότητι, καὶ συναναστροφῇ καὶ συνουσίᾳ χαριεστάτῃ.* [cf. SynaxEC 749-750; Menol 500] – **442-443** cf. PG 100, 1257A-B

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

**438-443** om. W – **441** ἐπαισχάτων L – ἀνυψώσας LGaKPd : ἀνυψῶσας Vb – αὐτὸν LCWPaGaPcSdVb – **443** ἐκλεκτούτου Pa – π(άτ)ερ τούτου FFaFbGbSaDGcGdNNaPdDaIScSdKKa : π(άτ)ερ τιούτον La

In vv. **444-449** W hoc theotokion tradit: Παρθένε, ἡ Θεὸν σεσαρκωμένον… (=Appendix V, vv. 125-130).

heirm. ζʹ EE 101-102, nr 143, Cosmae monachi – ἀφλέκτως L

**450** δροσισμῷ : δρόμῳ P – **451** κατεσκεύασας Gd – **453** τὸ ἔμπυρον πόλεμον W – ἔνπυρον L

δοκιμασθεὶς ὡς χρυσὸς δὲ
πειρασμῶν τῇ χωνείᾳ,
ὡς ἥλιος ἀστράπτεις.

**Ἀ**δαμαντίνην καρδίαν
ἐν θλίψεσιν ἔσχηκας
καὶ διωγμοῖς, Μεθόδιε,
καὶ νοῦν ἀστραπτόμενον
μαρμαρυγαῖς οὐρανίαις
καὶ πυρίπνοον στόμα·
διό σε εὐφημοῦμεν.

**Ὡ**ς ἀκαθαίρετος πύργος
ἀσάλευτος ἔμεινας
πειρασμῶν μηχανήμασι,
πλάνης τὸ ὀχύρωμα
καταβαλών, ἱεράρχα,
τῷ μοχλῷ σου τῶν λόγων,
Μεθόδιε παμμάκαρ.

*Θεοτοκίον.*

471-477 **Ἡ** ὑπερθαύμαστος αὕτη
παστὰς τοῦ ἑνώσαντος
ἑαυτῷ τὸ ἀνθρώπινον …. = AHG X, XVI (2), 544-550.

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

**455** χωνεῖα L : χωνία CW : χωνῖα Gd : χονία PPa : χονεία FaFbSaGbNNaVb – **456** ἀστραπῆς Pa – **459** διωγμοὺς HVb – Μεθόδιε : μακάριε Pc – **460** καὶ νῦν ἀστραπτόμενος FFaFbKGbSaDGcGdNNa PdDaIScKaSdLa : νοῦν ἀστράπτης μένον Vb – **461** καὶ μαρμαρυγαῖς Na – οὐρανίοις P?FFaFb?KGb SaDGcGdNNaPdDaIScSdKaLa : οὐ(ρα)νίαις Vb – **462** πυρίπνον L – **463** διὸ εὐφημοῦμεν σε Pc : διὸ ἀνυμνοῦμεν σε W – **464-470** om. PPa – **465** ὡς ἀσάλευτος W – **466** μηχανήμασι : τοῖς κρούσμασι Vb – **468** καταβαλῶν L – **469** μωχλῶ τῶν σῶν λόγων W

*Ὠιδὴ η′. Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*
*θάλα(σσα καὶ πᾶσαι αἱ πηγαὶ)*

**Σ**ὺ καθεῖλες αἱρετικῶν
φρύαγμα τὸ ὄντως δυσσεβὲς
καὶ συνανύψωσας πιστῶν
ἐκκλησίας, πάτερ, τὸ κέρας,
Χριστοῦ δογματίζων
τὴν εἰκόνα τιμᾶσθαι, Μεθόδιε·
ὅθεν σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**ὲ ἀστέρα ὁλοφαῆ
ὁ ἥλιος ἀνέδειξε Χριστός,
τῷ στερεώματι, σοφέ,
πεπηγότα τῆς ἐκκλησίας·
καὶ σοῦ ταῖς βολίσι
τῶν σεπτῶν διδαγμάτων τὰ πέρατα,
πάτερ, κατηυγάσθη
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**οῦ ὁ λόγος ὥσπερ βροντή,
Μεθόδιε, ἠχήσας ἐπὶ γῆς,

---

**480-481** cf. Sir 47:5, 47:11

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaIScKaSdVbLa

heirm. η′ EE 107, nr 150, Andreae Cretensis Jerosolymitanis

**478** αἰρετικῶν L – **479** τὸ φρύαγμα W : φρυάγματα Vb – τῶν ὄντως δυσσεβῶν CB : τῶν ὄντων δυσεβῶν Vb – **480** σὺ ἀνύψωσας Vb – **482** Χριστοῦ om. Pa : χ(ριστὸ)ν Vb – **483** μεθόδιε τιμάσθε W – **484-485** ὅθεν σε ὑμνοῦντες χριστὸν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας ISc : ὅθεν σε ὑμνοῦντες χριστὸν εἰς τοὺς αἰῶ(νας) Sd – **484** ὑμνοῦντες FScK – **485** εἰς πάν(τας τοὺς αἰῶνας) L : χ(ριστὸ)ν ὑπερυψοῦμεν FK – εἰς πάντας : πιστοὶ PPa : χ(ριστὸ)ν Sc : χ(ριστ)ὲ La – **487** ὁ om. CB – ἀνέδειξεν L : ἔδειξε Pc – χ(ριστ)ὲ W – **489** πεπηγώτα PPa : πηγῶ τὰς Vb – ἐκκλησίας : ἀληθείας PPa – **491** σεπτῶν : σοφῶν CB – **493** εἰς πάν(τας τοὺς αἰῶνας) L

τοῦ μαμωνᾶ τὸν συνεργὸν
καὶ γεννήτορα τῆς ἀπάτης
ὡς ὄφιν εἰσδύναι
τῇ αὐτοῦ καταδύσει συνήλασεν,
σκότους αἰωνίου
ὡς ὄντα κληρονόμον.

*Θεοτοκίον.*

502-509 **Ε**ἷς ὑπάρχεις μονογενής,
ἄνω εἷς καὶ κάτω ὁ αὐτός …
f. 66v … τὸ ἀλλότριον, Λόγε, πτω/χεύσας μου …
… = AHG V, XIV, 499-507 (Andreae) et XXX (2), 342-349 (Andreae); AHG XII, V (1), 336-342 (Andreae).

*Ὠιδὴ θ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυ(νατὸς)*

**Ἀ**ρχιερέων κλέος, μοναζόντων ἡ καλλονή,
ἁπάντων τῶν πιστῶν ὑπογραμμός,
ἐκκλησίας ὁ ποιμὴν
καὶ ὀρθοδόξων ἡ κρηπὶς
σὺ εἶ, Μεθόδιε.

---

**496** cf. Matth 6:24; Luc 16:13

---

**496-499** cf. PG 100, 1249D: *Τότε τοίνυν διαβάλλεται τούτῳ τῷ ὄφει* [imperatori Theophili] *ὁ τοῦ Χριστοῦ ἀριστεὺς καὶ μάρτυς Μεθόδιος, τὴν αἵρεσιν φανερῶς ἀπελέγχων, καὶ μεγάλας ὑπενεγκὼν βασάνους τῆς ὀρθοδόξου πίστεως χάριν…* et 1251B-C: *…ὁ δόλιος ὄφις ἐκεῖνος* [imperator Theophilus] *συνειδὼν, ὅτι μὴ ταῖς βασάνοις εἴκειν φύσεως ἔχει ὁ τοῦ Χριστοῦ στρατιώτης…* [cf. Gen 3.1-6]

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaISсKaSdVbLa

**496** μαμωνὰ L – **501** ὡς ὄντας κληρονόμους FFaFbKGbSaDGcGdNNaPdDaISdKaScLa – **502** Εἷς : Ὡς H

heirm. θ΄ EE 106, nr 149, Andreae Cretensis – ἐποίησέν L

**510** τὸ κλέος Vb – ἡ om. H – **513** ὀρθοδόξων L – **514** σὺ εἶ om. W

**Τ**οῦ Ἠλιοὺ τὸν ζῆλον κεκτημένος, ἔπλησας
αἰσχύνης παρανόμους ἱερεῖς,
τῆς σαρκώσεως Χριστοῦ
μὴ προσκυνοῦντας τὴν μορφήν,
σοφὲ Μεθόδιε.

**Χ**ορεύων μετ᾽ ἀγγέλων πρὸ προσώπου τοῦ Λυτρωτοῦ
καὶ δόξης ἀπολαύων τῆς αὐτοῦ,
ταῖς πρεσβείαις σου ἡμᾶς
ἀπὸ παντοίων πειρασμῶν
ῥῦσαι, Μεθόδιε.

*Θεοτοκίον.*

**Ὑ**μνοῦμέν σου τὸν τόκον καὶ δοξάζομεν τὸν ἐκ σοῦ …
… τοῦ ἐλεῆσαι ἡμᾶς. ……… = AHG X, IV, 238-243.

---

**515-516** cf. PG 100, 1260D: *Ὦ τῆς Ἠλίου ἱερωτέραν θυσίαν προσαγαγὼν Θεῷ, καὶ οὐ διακοσίους καὶ τετρακοσίους, ὡς αὐτὸς, ἀνελὼν ἱερεῖς αἰσχύνης, ἀλλὰ δισμυρίους καὶ περαιτέρω τῆς ὄντως αἰσχύνης ἀξίους ἱερεῖς κωλύσας καὶ καθείρξας δυσσεβῶν ἱερᾶσθαι ἐπαισχυνομένους ὁμολογεῖν τὴν ἀψευδῆ τοῦ Θεοῦ Λόγου σάρκωσιν, δι᾽ ἧς τὸ ἀνθρώπινον γένος ἀνακαίνισται…* [cf. 3 Regn 18:17-40]

---

LHPFFaFbCWPaGaKGbSaBDPcGcGdNNaPdDaISсKaSdVbLa

**515** κεκτημένος : +…+λοσμένος Pc – **517** καὶ τῆς FaDGcNNaKa – **520** μεταγγέλων L – πρὸ om. W – **522** πρεσβεῖαις L – **524** ρύσαι πρεσβείαις σου W : ῥῦσαι δεόμεθα Ga – **529** εἰς τὸ σωθῆναι ἡμᾶς L

Post odem 9 FFaFbKGbSaDGcGdNNaPdDaISdKaScVbLa hoc exaposteilarion tradit: <*Ἦχος β'. Τῶν μαθητῶν.*> Δεῦτε πιστῶς ὑμνοῦμεν τὴν θείαν μνήμην… (=Appendix V, vv. 131-136).

Post *exaposteilarion* in FFaFbCKGbSaBDGcGdNNaPdDaISdKaScVbLa hoc *doxastikon* tradit: Ἀστὴρ ἀνέτειλεν εὐσεβείας… (=MV X, 52)

Post odem 9 in Ga hoc apolytikion tradit: Ὁ ἔνσαρκος ἄγγελος… (=MV X, 47)

Post apolytikion Ὁ ἔνσαρκος ἄγγελος… in Ga synaxarion in Elisaeum prophetam, s. Methodium et s. Cyrillum episcopum Gortynae tradit.

Post odem 9 in Pc synaxarion in Elisaeum prophetam (cf. Synax. 747-749; MV X, 50), s. Cyrillum episcopum Gortynae (cf. Synax. 750) et s. Methodium tradit.

## 15

## In s. Amosem prophetam
(vv. 1-7, 19-45, 88-247)

## In s. Fortunatum apostolum
(vv. 8-18, 46-87, 248-500)

*Μηνὶ τῷ αὐτῷ ιε′ τοῦ ἁγίου προφήτου Ἀμὼς καὶ τοῦ ἁγίου ἀποστόλου Φουρτουνάτου.*

*Κάθισμα.*
*Ἦχος γ′. Πρὸς τὸ Θείας πίστεως*

1-7 **Θ**εῖον ὄργανον τοῦ Παρακλήτου ............... = MV X, 53.

*Ἄλλον.*
*Ἦχος δ′. Πρὸς τὸ Ταχὺ προκατάλαβε*

8-18 **Ἐ**ν αἵματι βάψας σου ......................... = AHG X, p. 359.

*Στιχηρά.*
*Ἦχος γ′. Πρὸς τὸ Μεγάλη τοῦ σταυροῦ σου, Κύριε*

f. 68r / **Π**ροφήτης θείῳ Πνεύματι
τὸν νοῦν λαμπόμενος,
Ἀμὼς παμμάκαρ, ὤφθης
καὶ πᾶσι τῶν ἀδήλων
ἀπεκάλυψας
τὴν γνῶσιν καὶ μετέβης
πρὸς τὴν ἐκεῖθεν ἔλλαμψιν,
ἡμῖν αἰτούμενος
φωτισμὸν σωτηρίας.

---

L

heirm. stich. PaAD, 272 – **19-45** inc. ed. in EfstrTam, 50 (1951) 328 (ex codd. S; G, f. 104; Pc, f. 57v; Paris. gr. 1576, f. 48v) – **19** θεῖω L – **21** ἀμώς L

*Ὅμοιον.*

**Κ**ιθάρα κρουομένη
θείῳ Πνεύματι γεγέννησαι,
καθυφηχοῦσα λόγον
τὸν θεῖον καὶ σωτήριον
καὶ καρδίας
τῶν ἀνθρώπων, θεοφάντορ,
πνευματικῶς θέλγουσα,
Ἀμὼς θεόσοφε·
διό σε εὐφημοῦμεν.

*Ὅμοιον.*

**Κ**αθάρας τὴν ψυχὴν
παθῶν, μακάριε,
ἔσοπτρον θεῖον ὤφθης
τοῦ Πνεύματος, ἐμφάσεις
εἰσδεχόμενον
καὶ πᾶσιν ἐπιπέμπων
αὐγοειδεῖς πάντοτε,
Ἀμὼς θεόπνευστε,
σοῦ τὰς ἀντανακλάσεις.

*Ἄλλα τοῦ ἁγίου ἀποστόλου Φουρτουνάτου.*
*Ἦχος πλ. δʹ. Πρὸς τὸ Ὢ τοῦ παραδόξου θαύματος*

46-59 **Μ**άκαρ Φουρτουνᾶτε πάνσοφε …... = AHG X, p. 359-360.
60-73 **Ἱ**εραρχίᾳ κοσμούμενος ………………… = AHG X, p. 360.
74-87 **Χ**ρόνοις πολλοῖς συγκρυπτόμενον …
f. 68v … ἱεραρχῶν/ κλέος ………………... = AHG X, p. 360.

---

L

**29** θεῖω L – **35** ἀμώς L – **44** ἀμώς L

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Ἀμώς σε μέλπω τὸν προφήτην τὸν μέγαν.*

*Θεοφάνους.*

*Ὠιδὴ α′. Ἦχος βαρύς. Τῷ ἐκτινάξαντι Θεῷ*
*τὸν Φαρα(ὼ ἐν θαλάσσῃ Ἐρυθρᾷ)*

88-91 **Ἀ**νακαθάρας μου τὸν νοῦν ………………….. = MV X, 52.
92-95 **Μ**υσταγωγὸς ἀναδειχθεὶς …………………… = MV X, 52.
96-99 **Ὡ**ς ἀκηλίδωτον Θεοῦ ………………………… = MV X, 52.
100-103 *Θεοτ.* **Σ**ὺ τὴν πεσοῦσαν τοῦ Ἀδὰμ ………….. = MV X, 52.

*Ὠιδὴ γ′. Ἐστερεώθη τῇ πίστει*
*Χριστοῦ ἡ ἐκκλη(σία)*

104-109 **Σ**ὺ παρανόμους ἐλέγχων …………………… = MV X, 52.
110-115 **Ἐ**τέθης στῦλος Προφῆτα …………………... = MV X, 52.
116-121 **Μ**εμυημένος τὰ θεῖα ………………………….. = MV X, 53.
122-127 *Θεοτ.* **Ἐ**στερεώθην τὸν θεῖον ………………... = MV X, 53.

*Ὠιδὴ δ′. Ἀκήκοα τὴν ἀκοήν σου, Κύριε*

128-131 **Λ**ατρεύοντα κωφοῖς εἰδώλοις ……………….. = MV X, 53.
132-135 **Π**ροφήτην σε τὸν πρὶν ποιμένα ἔδειξεν
f. 69r ὁ Θεὸς ἀ/ναλαβὼν ……………………….. = MV X, 53.
136-139 **Ὡ**ς ἔσοπτρον τὰς τοῦ ἁγίου Πνεύματος …… = MV X, 53.
140-143 **Τ**ὴν ἄμεμπτόν σου πολιτείαν ἔνδοξε ………. = MV X, 53.
144-147 *Θεοτ.* **Ὁ** λόγος σοὶ κατασκηνώσας ἄχραντε …
…………………………………………….. = MV X, 53.

*Ὠιδὴ ε′. Πρὸς σὲ ὀρθρίζω*
*καὶ σοὶ (κραυγάζω)*

148-153 **Ν**ενεκρωμένους, τρυφῆς βολίσι ……………... = MV X, 53.
154-159 **Π**λουσιοτάταις φωτοχυσίαις ………………… = MV X, 53.
160-165 **Ῥ**υσθῆναι πάντας τοὺς σὲ ὑμνοῦντας ……... = MV X, 53.
166-171 *Θεοτ.* **Ο**ἱ θεοτόκον ὁμολογοῦντες σε ……….. = MV X, 53.

*Ὠιδὴ στ′. Ὁ Ἰωνᾶς ἐκ κοιλίας Ἅιδ(ου ἐβόα)*

172-175 **Φ**ωτιστικαῖς ἀληθείας ἀκτῖσιν ……………… = MV X, 53.
176-179 **Ἠ**μαύρωσας τῆς ἀπάτης τὴν φλόγαν ……… = MV X, 53.
180-183 *Θεοτ.* **Τ**ὴν ἄχραντον παρθενίαν …
f. 69v … τὸν / ἄφθορον ………………………… = MV X, 53.

*Ὠιδὴ ζ′. Οἱ ἐν καμίνῳ τοῦ πυρὸς*
*ἐμβληθέντες (ὅσιοι παῖδες)*

184-189 **Ἣ**ν προηγόρευσας θείαν σωτηρίαν ………… = MV X, 54.
190-195 **Ν**ενευρωμένος τῇ θείᾳ δυναστείᾳ …………... = MV X, 54.
196-201 *Θεοτ.* **Τ**ὸν ἀκατάληπτον τόκον τῆς παρθένου …
……………………………………………….. = MV X, 54.

*Ὠιδὴ η′. Τὸν μόνον ἄναρχον*

202-208 **Ὅ**λος ἀνέδραμες εἰς αἰθέριον ὕψος ………… = MV X, 54.
209-215 **Ν**οὸς ὀξύτητι τὸν τῶν ὅλων δεσπότην ……... = MV X, 54.
216-222 **Μ**ακαριότητος καὶ χαρᾶς ἀνεκφράστου …… = MV X, 54.
223-229 *Θεοτ.* **Ἐ**ν δύο φύσεσι τῆς Τριάδος …………… = MV X, 54.

*Ὠιδὴ θ′. Πανύμνητε, τῶν οὐρανῶν ὑψηλοτέρα*
*ἡ τὸν ἄναρχον λόγον*
*ἀφράστως συλλαβοῦσα …*
*… διὸ πάντες σε, ἁγνή, μεγαλύνομεν.*

f. 70r 230-235 / **Γ**ενόμενος προφητικῆς ἐκφαντορίας ……… = MV X, 54.
236-241 **Ἀ**νέκφραστος τῶν προφητῶν ἡ εὐδοξία …… = MV X, 54.
242-247 *Θεοτ.* **Ν**εκρώσεως καὶ τῆς φθορᾶς μου τοὺς χιτῶνας …
………………………………………………. = MV X, 54.

---

heirm. θ′: cf. EE 199, nr 281

*Ἕτερος κανὼν εἰς τὸν ἅγιον ἀπόστολον Φουρτουνάτον, φέρων ἀκροστιχίδα τήνδε· Τὸν παμμέγιστον δοξάσω Φορτουνάτον· <Ἰωσήφ>.*

*Ἰωσήφ.*

*Ὠιδὴ α΄. Ἦχος β΄. Δεῦτε, λαοί,*
*ᾄσωμεν ᾆσμα (Χριστῷ τῷ Θεῷ)*

248-254 **Τ**ῶν ἀγαθῶν τὸν πορισμὸν συλλεξάμενος …
………………………………………… = AHG X, X, 1-7.
255-261 **Ὁ** φωτισμὸς τοῦ δι᾽ ἡμᾶς ὕλῃ σώματος …
……………………………………….. = AHG X, X, 8-14.
262-268 **Ν**όμους τηρῶν ἀπαρατρώτους τοῦ πνεύματος …
………………………………………. = AHG X, X, 15-21.
269-275 **Π**αῦλος εὑρὼν σέ, ὁ πολύφωτος ἥλιος …
………………………………………. = AHG X, X, 22-28.
276-282 *Θεοτ.* **Ἀ**νατολὴ ἐπὶ δυσμάς, παναμώμητε …
……………………………………… = AHG X, X, 29-35.

f. 70v / *Ὠιδὴ γ΄. Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε,*
*ὁ ξύλῳ νεκρώ(σας τὴν ἁμαρτίαν)*

283-288 **Μ**αράνας τὰ φυτὰ τῆς ματαιότητος … =AHG X, X, 36-41.
289-294 **Μ**αρτύρων προφανῶς πλουτήσας εὔκλειαν …
………………………………………. = AHG X, X, 42-47.
295-300 **Ἐ**πέδραμες τὴν γῆν διακονούμενος … =AHG X, X, 48-53.
301-306 *Θεοτ.* **Γ**εννήσασα πατρὸς τὸν συναΐδιον …
………………………………………. = AHG X, X, 54-59.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε,*
*τὴν ἀκοὴν (τῆς σῆς οἰκονομίας)*

307-311 **Ἰ**σχυράν σε παράκλησιν …………….. = AHG X, X, 60-64.
312-316 **Σ**τρατιώτης γενόμενος ………………. = AHG X, X, 65-69.
317-321 **Τ**ῷ πυρσῷ τῶν δογμάτων σου…
…………………………….. = AHG X, X, p. 121 (app.).
322-326 **Ὁ**παδὸς σκεύους γέγονας …………... = AHG X, X, 75-79.
327-331 <**Ν**εκρωθεῖσιν ἐκήρυξας …> ………... = AHG X, X, 80-84.
332-336 *Θεοτ.* **Δ**ιὰ σοῦ ἡμῖν ἔλλαμψεν ……… = AHG X, X, 85-89.

*Ὠιδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγὸς*
*καὶ τῶν αἰώνων (ποιητὴς Κύριος)*

337-343 **Ο**ἱ ἐκ κοιλίας τῆς σῆς ………………… = AHG X, X, 90-96.
344-350 **Ξ**έναις φωναῖς τοὺς ποτὲ …
f. 71r … ξένως / ἀθλήσας …………….. = AHG X, X, 97-103.
351-357 **Α**ἵμασιν ἔσβεσας …………………… = AHG X, X, 104-110.
358-364 *Θεοτ.* **Σ**ωματοφόρος ὀφθεὶς ……… = AHG X, X, 111-117.

*Ὠιδὴ στ΄. Ἄβυσσος ἁμαρτημάτων*
*ἐκύκλωσέ με (ἐσχάτη)*

365-371 **Ὤ**φθη σου ἡ γλῶσσα, μάκαρ ……... = AHG X, X, 118-124.
372-378 **Φ**ρύαγμα πολυθεΐας ………………. = AHG X, X, 125-131.
379-385 **Ὁ** τάφος σου ἀκτίνας πέμπων …… = AHG X, X, 132-138.
386-392 *Θεοτ.* **Ῥ**ῆξον μου, παρθενομῆτορ … = AHG X, X, 139-145.

*Ὠιδὴ ζ΄. Εἰκόνος χρυσῆς*
*ἐν πεδίῳ Δε(ηρᾷ λατρευομένης)*

393-400 **Τ**ιμάσθω φαιδρῶς ………………….. = AHG X, X, 146-153.
401-408 **Ὁ**δοὺς πρὸς ζωὴν …
f. 71v … Φορτουνᾶτε / μιμηταὶ …….. = AHG X, X, 154-161.
409-416 **Ὑ**μᾶς ὁ κλεινὸς …………………….. = AHG X, X, 162-169.
417-424 *Θεοτ.* **Ν**εκρὸς γεγονὼς ……………. = AHG X, X, 170-177.

*Ὠιδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ π(υρὸς)*

425-433 **Ἁ**γιασμὸν καὶ φωτισμὸν ………….. = AHG X, X, 178-186.
434-442 **Τ**υφλοῖς τὸ βλέπειν χορηγεῖς ……. = AHG X, X; 187-195.
443-451 **Ὁ** ἱερώτατος ποιμὴν ………………. = AHG X, X, 196-204.
452-460 *Θεοτ.* **Ν**έον ἐκύησας ἡμῖν ………… = AHG X, X; 205-213.

*Ὠιδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*
*τὸν ἀρρήτῳ σοφίᾳ*

461-468 **Ἱ**ερονίκοις στεφάνοις ……………… = AHG X, X, 214-222.
f. 72r 469-476 / **Ὡ**ς πολυτίμητος ὄλβος …………... = AHG X, X, 223-229.
477-484 **Σ**ήμερον τέρπεται πᾶσα …………... = AHG X, X, 230-237.
485-492 **Ἡ**λιακὰς λαμπηδόνας …………….. = AHG X, X, 238-245.
493-500 *Θεοτ.* **Φ**έρεις τὸν φέροντα πάντα … =AHG X, X, 246-253.

**16**

## In s. Tychonem thaumaturgum Episcopum Amathountis

(vv. 1-11, 23-80, 120-351)

## In s. Pagcharium martyrem

(vv. 12-22, 81-119, 352-584)

*Μηνὶ τῷ αὐτῷ ιστʹ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τύχωνος καὶ τοῦ ἁγίου μάρτυρος Παγχαρίου.*

*Κάθισμα.*
*Ἦχος δʹ. Πρὸς τὸ Ταχὺ προκατάλαβε*
*Τοῦ ὁσίου.*

1-11 **Τ**υχεῖν ἐφιέμενος τῆς αἰωνίου ζωῆς …
……………………………………. = AHG X, VIII, p. 90.

*Ἄλλον τοῦ μάρτυρος.*
*Ἦχος ὁ αὐτός. Πρὸς τὸ Κατεπλάγη Ἰωσὴφ*
*Τοῦ μάρτυρος.*

**Τ**ὰς τῶν τυράννων ἀπειλὰς
ἀποκρουσάμενος στερρῶς,
τὸν Χριστὸν δέ, ἀθλητά,
ὁμολογήσας εὐθαρσῶς,
τῆς ἀιδίου ἐπέτυχες μακαριότητος·
ὅθεν ἐκτενῶς δυσωποῦμεν σε,

---

**12-13** cf. MV VII, 72: …*Ὁ ἅγιος εἶπε· Ναζωραῖος εἰμὶ, καὶ Χριστιανὸς, ὦ βασιλεῦ. Καὶ ὁ βασιλεύς· Ἄρνησαι τὴν προσηγορίαν ταύτην, διὰ τὴν πρὸς σέ μου ἀγάπην· ἐπεὶ γνωστὸν ἔστω σοι, ὡς οὐκ ἀποφαίνομαι θάνατον σύντομον κατὰ σοῦ, εἰμὴ πρότερον πολλαῖς καὶ διαφόροις καταναλώσω κολάσεσι. Καὶ ὁ Ἅγιος· Ἐγὼ μέν, ὦ βασιλεῦ, ὑπὲρ τοῦ γενέσθαι με ὁμόφρονά σοι μέχρι τοῦ παρόντος, φρίττω καὶ δέδοικα, ἵνα μὴ πῦρ ἐλθὸν ἐξ οὐρανοῦ κατακαύσῃ με· μὴ γένοιτο δέ μοι ἀπὸ τοῦ νῦν ἀρνήσασθαι τὸν Χριστόν μου, κἂν σήμερον, κἂν μετὰ πολλοὺς χρόνους, πολυειδῶς μου τὸ σῶμα, ὡς σὺ φῇς, καταναλώσῃς.*

---

LPaSb

**Tit.** Μ(ηνὶ) τῷ αὐτ(ῷ) ιστʹ τοῦ ἁγ(ίου) παγχαρίου PaSb

**1-11** Τυχεῖν – μακάριε om. PaSb

heirm. kath. MR I, 233; MR III, 388 – **12-22** Τὰς τῶν – δούλους σου post odem 3 in PaSb – **16** ἀϊδίου L

μνημόνευε ἡμῶν πρὸς τὸν Κύριον,
f. 72v τῶν / ἐκτελούντων πίστει σου καὶ πόθῳ
τὴν πανσεβάσμιον κοίμησιν,
ἐκ πάσης βλάβης τοῦ ἀλλοτρίου
λυτρωθῆναι τοὺς δούλους σου.

*Τὸ κονδάκιον.*
*Ἦχος β΄. Πρὸς τὸ Τὰ ἄνω ζητ(ῶν)*
*Τοῦ ὁσίου.*

**Θ**αυμάτων πολλῶν
τὴν χάριν κομισάμενος,
καὶ γὰρ ὁ Χριστὸς
δοξάζει τοὺς δοξάζοντας
τὴν αὐτοῦ σωτήριον
ἐν ἀνθρώποις ἐπέλευσιν ἔνθεον,
σὺν ἀγγέλοις Χριστῷ τῷ Θεῷ
πρέσβευε ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

*Ὁ οἶκος.*

**Ἔ**χων ἰσάγγελον πολιτείαν,
ἱεράρχα Κυρίου,
ἐν τοῖς πρώτοις αὐτοῦ
καὶ ἀλγύνων ἀρρωστήματα,
παύεις δὲ λώβην τὴν τῶν δαιμόνων,

---

**25-26** cf. 1 Regn 2:30 et MV X, 55 (anonymis, in s. Tychonem): *Θαύμασι Θεός σε ἐδόξασεν, ὁ δοξάζων τοὺς αὐτὸν, πάτερ, δοξάζοντας πιστῶς.*

---

**23-24, 34** cf. VT 232:5-24; *AASS* Iunii, III, 97F: *…θαυματουργίας πολλὰς ἔτι τε τῷ βίῳ περιὼν, καὶ μετὰ τελευτὴν ἐργασάμενος…* – **35** cf. VT 230:22: *…δαιμωνιῶντάς τε ἰάσατο πλείστους…* et 232:11-24

---

LPaSb
**19** ἐκτελοῦντων L
heirm. kont. MR I, 17 – **23-80** deest PaSb – **26** δοξάζῃ L – **30** πρεσβεύων L – ὑπερ L – **31** πολητίαν L

ἀπελαύνων τὸν ζόφον τῆς ἀθεΐας,
καὶ φωτισμὸν ἐν ψυχαῖς τῶν πιστῶν
νῦν ἐντίθεσαι·
εἰδώλων πλάνην σβεννύεις
καὶ τυράννους ἐλέγχεις παράφρονας·
λαοὺς Ἑλλήνων ἐστήριξας
καὶ βαπτίσματι θείῳ ἐτέλεσας.

*Ἀνακλώμενον*: Πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

*Στιχηρά.*
*Ἦχος δʹ. Πρὸς τὸ Ἔδωκας σημείωσιν*
*Τοῦ ὁσίου.*

**Ν**οῦν προκαθηράμενος
τῆς τῶν παθῶν ἀμαυρώσεως,
χρίσμα ἅγιον εἴληφας,
ποιμὴν θεοπρόβλητος
γεγονώς, παμμάκαρ,
ἐν Πνεύματι θείῳ
καὶ ὀρθοδόξοις διδαχαῖς
καθοδηγήσας, μάκαρ, τὸ ποίμνιον

---

**40** cf. VT 230:30-33: *…οἱ ἕλληνες τῷ ἄρχοντι τὸν ἅγιον παρέστησαν. Ὁ δὲ θαρρῶν τῇ πίστει τοῦ Χριστοῦ ἐξέθετο αὐτοῖς θαρσαλέως τὸν τοῦ ἁγίου εὐαγγελίου λόγον, στηλιτεύσας τῶν εἰδώλων τὰς ἀκαθαρσίας…* – **41-42** cf. VT 229:24-230:5: *…Καὶ ἦν ἐλέγχων τὴν τῶν ἑλλήνων καὶ Ἰουδαίων ἀθεότητά τε καὶ ματαιότητα· διδασκαλίᾳ δὲ καὶ νουθεσίᾳ τούτοις διαλεγόμενος, πλείστους προσέφερεν τῷ ἐπισκόπῳ καὶ τοῦ θείου τούτου βαπτίσματος κατηξίωσεν. … Τοὺς οὖν ἕλληνας πλειοτέρους ἀπέστρεφεν ἐκ τῆς τῶν εἰδόλων θρησκείας καὶ προσῳκείου τῷ Χριστῷ.* – **47-49** cf. VT 230:1-4: *Τελευτήσαντος δὲ Μνημονίου τοῦ ἐπισκόπου τὸν ἅγιον Τύχωνα εἰς τὴν προεδρίαν τῆς ἐπισκοπῆς Ἀμαθούντων ἀνήγαγον…*; *AASS* Iunii, III, 97F et SynaxEC 751:20-22 et MV X, 56: …[*Μνημονίου*] *τὸν βίον ἀπολιπόντος, αὐτὸς* [Tychon] *εἰς τὸν τῆς ἐπισκοπῆς ἀνάγεται θρόνον παρὰ τοῦ μεγάλου Ἐπιφανίου…*

---

LPaSb (et in vv. 45-80 Ia)

**41** ἑλλήνων L – **42** θεῖω L – **43-44** Ἀν(ακλώμενον). Πρεσβεύων (ἀπαύστως - ἡμῶν) rubr. in L heirm. stich. PaAD, 429 – **49** γεγονῶς L – **50** θεῖω L – **52** καθωδηγήσας L

πρὸς χλόην ἐπιγνώσεως,
πρὸς τὴν ὁδὸν τὴν σωτήριον·
διὰ τοῦτο τιμῶμέν σε
ἱεροῖς μελωδήμασιν.

*Ὅμοιον.*

**Τ**ὴν χάριν δεξάμενος
τῶν ἰαμάτων, πανόλβιε,
ἀσθενοῦσιν ἑκάστοτε
παρέχεις τὴν ἴασιν,
ἀπελαύνεις πάθη,
δαίμονας διώκεις
καὶ ἰατρεῖον τοῖς πιστοῖς
πᾶσιν ὑπάρχεις, θεομακάριστε·
διὸ τὴν θείαν μνήμην σου
ἐπιτελοῦντες γηθόμενοι
τὸν σεπτὸν καὶ ἰσάγγελον
μακαρίζομεν βίον σου.

*Ὅμοιον*

**Κ**λῆμα εὐφορώτατον
θείας ἀμπέλου γενόμενος

---

**57-64** cf. notationem ad vv. 23-24 – **69-76** cf. VT 231:1-22: *Ἀγρὸν ἔχων ὁ ἅγιος καλούμενον Ἀμπελῶνα, ἐν τούτῳ ἀμπελῶνα ἐφύτευσεν· ὅθεν οἱ κάμνοντες τὰ μὲν ζῶντα τῶν κλημάτων ἐβόθρευον, τὰ δὲ ξηρὰ ἔξω ἔβαλλον. Ἐν δὲ τῶν ἐκβληθέντων ξηρῶν ὁ ἅγιος λαβὼν κλῆμα, ηὔξατο τῷ Θεῷ τέσσαρα χαρίσματα δοθῆναι τῷ ξηρῷ κλήματι, ἰκμάδα ζωῆς, εὐφορίαν καρπῶν, σταφυλῆς ἡδύτητα καὶ πρώιμον βλάστησιν. Καὶ οὕτως τὸ κλῆμα εἰς γῆν κατεφύτευσεν, τὸ ὄνομα τῆς ἁγίας Τριάδος ἐν τῷ φυτεύειν ἐπιφθεγξάμενος· ὅπερ κατὰ τὴν αἴτησιν τοῦ ἁγίου ῥιζωθὲν καρπὸν ἤνεγκε πρώϊμον καὶ μέχρις αἰῶνος οὐ διαλείπει διδόναι τὸν καρπὸν αὐτοῦ εἰς μνήμην τοῦ τὴν εὐχὴν τῷ Θεῷ ὑπὲρ αὐτοῦ προσενέγκαντος ἁγίου. … Ἔστι δὲ ὅτε καὶ ὀλίγους ῥόγας ἔχων ὁ βότρυς μέλανας ἀποσταλεὶς πρός τινας ἀσθενεῖς ἢ ἑτέρους χάριν εὐλογίας, ἀπαρχόμενος πέπειρος γίνεται καὶ τοὺς ὁρῶντας καὶ ἀπογευομένους τὸ τάχος ὑγείαν ψυχῆς καὶ σώματος τῇ τοῦ ἁγίου εὐλογίᾳ παρέχεται…*

---

LPaSb (et in vv. 45-80 Ia)

vv. **57-68** post vv. **69-80** in Ia – **58** ἱαμάτων L – **65** θεῖαν L – **69** Κλήμα L – εὐφορότατον L – **70** θεῖας L

ἀρετῶν θείους βότρυας
προσήνεγκας, ὅσιε,
f. 73r ἰα/μάτων γλεῦκος
πᾶσι τοῖς ἀνθρώποις
ἐναποστάζοντας ἀεὶ
ἱερομύστα σεβασμιώτατε·
διὸ πανηγυρίζοντες
τὴν ἀεισέβαστον μνήμην σου
προσκυνοῦμεν τὰ λείψανα
φωτισμὸν ἀρυόμενοι.

*Ἄλλα τοῦ μάρτυρος.*
*Ἦχος ὁ αὐτός. Πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθεὶς*

**Ἀ**ξιοχρέως ὑμνοῦμεν σε, παμμάκαρ·
σοῦ γὰρ τὰ ἰάματα καθάπερ νάματα
δαψιλευόμενοι πάντοτε
ἐκ πάσης νόσου
λελυτρωμένοι θερμῶς προσπίπτομεν
καὶ κατασπαζόμεθα τὰ θεῖα λείψανα,
ἐξ ὧν ἀντλοῦντες τὴν ἴασιν
ἐν κατανύξει
ἀναβοῶμέν σοι, πανσεβάσμιε·
«τοῦ ἀλλοτρίου διαφύλαττε τοὺς σοὺς δούλους,
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκετεύων τοῦ σῶσαι
καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν».

---

LPaSb (et in vv. 45-80 Ia)

**75** ἐναποστάζας L – **76** σεβασμιότατε L

Post tit. stich. Τ(οῦ) μ(ά)ρ(τυρος) add. in marg. L

heirm. stich. MV X, 112, 113-114 – **83** δαψηλευόμενοι L – **86** κατασπαζόμενοι Pa – **89** ἀναβοῶμεν L – **92-93** ἱκετεύων ἀπαύστως· τοῦ σωθῆναι τὰς ψυ(χὰς ἡμῶν) Pa : ἱκετεύων ἀπαύστως· τοῦ σωθῆναι (τὰς ψυχὰς ἡμῶν) Sb

**Μ**εγαλοφρόνως, πιστοί, δεῦτε συμφώνως
ὕμνοις εὐφημήσωμεν τὸν θεῖον μάρτυρα
χαρμονικῶς ἀνακράζοντες·
«Θεοῦ ὁπλῖτα
ὑπὲρ ἡμῶν ἀπαύστως ἱκέτευε,
Παγχάριε ἔνδοξε μεγαλομάρτυς Χριστοῦ,
τῶν ἐκτελούντων τὴν μνήμην σου
πίστει καὶ πόθῳ
καὶ προσιόντων ἐν τῷ σεπτῷ σου ναῷ»·
σὲ γὰρ προστάτην ἀκαταίσχυντον κεκτημένοι
βοῶμεν, πανόλβιε·
«ἐκ φθορᾶς καὶ κινδύνων
ἐλευθέρωσον τοὺς δούλους σου».

**Λ**αμπροφορείτω Χριστοῦ ἡ Ἐκκλησία·
κόσμου γὰρ ὁ πρόμαχος καὶ μάρτυς ἄριστος
σήμερον χαίρων Παγχάριος
τὸν τῆς κακίας
συντρίβει ὄφιν θείοις ποσὶν αὐτοῦ,
ὕψη πρὸς οὐράνια μεταβιβάζεται,
ἀγγέλων μέλπει σὺν τάγμασι
καὶ τῶν μαρτύρων
συνεπαγάλλεται τοῖς στρατεύμασι
καὶ τῷ δεσπότῃ παριστάμενος ἀνενδότως
αἰτεῖται δωρήσασθαι
τὴν εἰρήνην τῷ κόσμῳ
καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

---

**111-112** cf. Gen 3:15

---

LPaSb

**94** συμφῶνος L – **99** Χριστοῦ om. Pa – **100** ἐκτελοῦντων L – **102-106** καὶ - δούλους σου : τὴν πανσεβάσμιον κοίμησιν· ἐκ πάσης πλάνης τοῦ ἀλλοτρίου· λυτρωθῆναι τους δούλ(ους) σου Pa (cf. vv. 20-22) – **104** βοῶμεν om. Sb – **107** Λαμπροφορήτω L – **110** τῆς om. Pa – **111** θεῖοις L – **113** μέλπειν συντάγματι L

Post vv. **107-119** Sb hoc apolytikion tradit: Ὁ μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ… (cf. EV 292).

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Τῷ θαυματ<τ>ουργῷ*
f. 73v *προσλαλήσω / ποιμένι· <Ἰωσήφ>.*

*Ὠιδὴ α΄. Ἦχος δ΄. Τριστάτας κραταιοὺς*

120-127 **Τ**ῷ θρόνῳ τοῦ Θεοῦ ................................ = MV X, 55.
128-135 **Ὠ**ράθης εὐκλεοῦς .................................. = MV X, 55.
136-143 **Θ**υσίαν σεαυτὸν ........................................ = MV X, 55.
144-151 *Θεοτ.* **Ἀ**νώρθωσας ἡμᾶς ........................... = MV X, 55.

*Ὠιδὴ γ΄. Οὐκ ἐν σοφίᾳ*
*καὶ δυνάμει (καὶ πλούτῳ καυχώμεθα)*

152-157 **Ὕ**λην κακίας προριζῶν ........................... = MV X, 55.
158-163 **Μ**όνα ποθήσας τὰ πρὸς θείαν ζωὴν .......... = MV X, 55.
164-169 **Ἁ**γίων βίους ἐμιμήσω ................................ = MV X, 55.
170-175 *Θεοτ.* **Τ**ὸν τῆς Τριάδος ἀπεκύησας ............. = MV X, 55.

f. 74r / *Ὠιδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ*
*ἐπὶ θρό(νου θεότητος)*

176-183 **Τ**ὸν ἐνάρετόν σου βίον ............................... = MV X, 56.
184-191 **Ο**ὐκ ἠλάττωται ὁ σῖτος ............................... = MV X, 56.
192-199 **Ὑ**πανοίγων τὴν καρδίαν ............................ = MV X, 56.
200-207 *Θεοτ.* **Ῥ**αθυμίᾳ συσχεθέντα ........................ = MV X, 56.

*Ὠιδὴ ε΄. Ἀσεβεῖς οὐκ ὄψονται*
*τὴν δόξ(αν σου, Χριστὲ)*

208-214 **Γ**εωργὸς ὡς ἄριστος ................................ = MV X, 56.
215-221 **Ὡ**ς τοῦ θείου Πνεύματος ............................ = MV X, 56.
222-228 **Π**οταμὸς πληρούμενος .............................. = MV X, 56.
229-235 *Θεοτ.* **Ῥ**υομένη φάνηθι …
f. 74v … καὶ / πρεσβείαν ἀκαταίσχυντον. ... = MV X, 56.

---

LPaSb

**120-351** deest PaSb

*Ὠιδὴ στʹ. Ἦλθον εἰς τὰ βάθ(η τῆς θαλάσσης)*

236-240 **Ο**ὐκ ἔσεισε, πάτερ, τῆς ψυχῆς σου …………… = MV X, 56.
241-245 **Σ**οφίᾳ Θεοῦ κεκοσμημένος ………………….. = MV X, 56.
246-250 **Λ**ειμὼν εὐανθής, Τύχων, ὡράθης ………….. = MV X, 56.
251-255 <*Θεοτ.* **Ἁ**γία Παρθένε, τὴν ψυχήν μου …> … = MV X, 56.

*Ὠιδὴ ζʹ. Νέοι τρεῖς ἐν Βαβυλῶνι*
*πρόσταγμα (τυραννικὸν*

256-261 **Λ**όγοις θείοις κατηρδεύθη …………………… = MV X, 57.
262-267 **Ἤ**νθησας καθάπερ ῥόδον …………………… = MV X, 57.
268-273 **Σ**τέφανος χαρίτων, πάτερ …………………… = MV X, 57.
274-279 **Ὤ**φθη μέγα σου τὸ θαῦμα ………………….. = MV X, 57.
280-285 *Θεοτ.* **Π**άντων ὤφθης ἀσωμάτων ………….. = MV X, 57.

*Ὠιδὴ ηʹ. Λυτρωτὰ τοῦ παντὸς παντοδύ(ναμε)*

286-291 **Ο**ὐδαμῶς ἡδοναῖς ἀπενύσταξας …
f. 75r … / ἐνθέως κατήντησας. ……………….. = MV X, 57.
292-297 **Ἰ**ατρεῖον παθῶν ἀναδέδεικται ……………… = MV X, 57.
298-303 **Μ**εγαλύνεις Χριστὸν τὸν Θεὸν ἡμῶν ……… = MV X, 57.
304-309 **Ἐ**γνωρίσθη σοι, πάτερ, ἡ ἔξοδος …………… = MV X, 57.
310-315 **Ν**ηπιώδες ἐξέκλινας φρόνημα ……………... = MV X, 57.
316-321 *Θεοτ.* **Ἱ**ερεῖς καὶ λαὸς εὐλογοῦμεν σε ……... = MV X, 57.

*Ὠιδὴ θʹ. Εὔα μὲν τῷ τῆς παρακοῆς (νοσήματι)*

322-327 **Ἰ**δού σοι τὸν δρόμον τὸν καλὸν ……………... = MV X, 57.
328-333 **Ὡ**ς μύστης, ὡς θεῖος ἱερεὺς ………………….. = MV X, 57.
334-339 **Σ**ήμερον ἡ μνήμη σου ἡμῖν ἀνέτειλε ………. = MV X, 57.
f. 75v 340-345 / **Ἡ** Κύπρος τὸ σῶμα σου, σοφέ ……………... = MV X, 57.
346-351 *Θεοτ.* **Φ**ωτὸς οἰκητήριον ἡ σὴ ……………….. = MV X, 57.

*† Ἕτερος κανὼν εἰς τὸν ἅγιον μάρτυρα Παγχάριον, φέρων ἀκροστιχίδα τήνδε· Χάριν βραβεύεις, Παγχάριε, θαυμάτων· <ἐν δὲ τοῖς θεοτοκίοις· Κλήμεντος>.*

*Κλήμεντος.*

*Ὠιδὴ α′. Ἦχος β′. Δεῦτε λαοί,*
*ᾄσωμεν ᾆσμα (Χριστῷ τῷ Θεῷ)*

**Χ**άρις ἡμᾶς
σήμερον τοῦ θείου Πνεύματος
θεοπρεπῶς συνήγαγεν,
τὴν ἀναβλύζουσαν
φερωνύμως δοξάσαι
τοῦ θείου Παγχαρίου
χάριν θαυμάτων πολλῶν.

**Ἀ**γωνιστὴς
πέφυκας τῆς εὐσεβείας, σοφέ,
ὑπομονῆς τοῖς βέλεσιν
καταστρεψάμενος
ἀσεβείας τὴν πόλιν
καὶ οἶκος ἀνεδείχθης
τοῦ θείου Πνεύματος.

**Ῥ**εῖθρον ζωῆς
ἔχων Χριστὸν ἐν καρδίᾳ σου,
τοὺς νεκρωθέντας πάθεσι
θαυμάτων, ἅγιε,
δαψιλεύεις τὴν χάριν,
δι᾽ ἧς πρὸς εὐρωστίαν
ζωοποιοῦνται πιστῶς.

---

LPaSb

**Tit. kan**. Ἕτερος - τήνδε : ὁ καν(ὼν) φέρων ἀκρ(οστιχίδα) PaSb – κανῶν L – πανχάριε L et in initia trop. – Κλήμεντος[2] deest LSb

Incipit kanonis ed. in EfstrTam, 50 (1951) 331 (ex cod. Pa)

heirm. α′ EE 37-38, nr 51, Cosmae monachi

**353** θείου τοῦ Pa – θεῖου L – **357** θεῖου L – **360** εὐσεβεῖας L – **363** ἀσεβεῖας L – **365** θεῖου L – **370** δαψηλεύεις L – χάριν : χύσιν PaSb – **371** διῆς L

*Θεοτοκίον.*

**Κ**αινοπρεπὴς
ἔστιν ὁ τόκος σου, πάναγνε·
ὁ γὰρ Πατρὶ συνάναρχος
ἐν θείῳ Πνεύματι
συναΐδιος Λόγος
ἐκ σοῦ σωματοφόρος
ἡμῖν ἐπέφανεν.

*Ὠιδὴ β΄. Προσέχετε λαός μου τῷ νόμῳ μου*

**Ἰ**γνύας σου ἐρείσας τῷ σκάμματι,
τῆς ψυχῆς οὐκ ἔσεισεν
πειρασμῶν σεισμὸς τὸν λογισμόν σου·
Χριστὸν γὰρ εἶχες, μάρτυς, θεμέλιον.

**Ν**οσούντων ἰατρὸς ἀλεξίπονος
καὶ χολῶν ἀνόρθωσις,
παρειμένων τε ἰσχὺς ἐδείχθης
f. 76r Χριστοῦ τῇ χάριτι, / μάρτυς Παγχάριε.

**Β**ασίλειον στολήν σε ἐνδέδυκεν
τῶν παθῶν ἡ νέκρωσις
καὶ κατέστεψεν θαυμάτων χάριν·
διὸ νοσοῦσιν βραβεύεις τὴν ἴασιν.

---

**375-377** cf. ConConHier, 18

---

LPaSb

**373** Ξαινοπρεπὴς Sb – **376** θεῖω L

heirm. β΄ EE 42-43, nr 57, Andreae Cretensis

**380-395** om. PaSb – **381** οὐκέσεισεν L – **382** λογισμὸν σου L – **384** Νοσοῦντων L – **386** τὲ L – **388** στολὴν σε L

*Θεοτοκίον.*

**Λ**όγος Πατρὶ ἀνάρχως συνάναρχος
καὶ Ἁγίῳ Πνεύματι
ὁμοούσιος Χριστὸς ὑπάρχει,
ὁ κατ᾽ οὐσίαν τεχθεὶς ἐκ παρθένου σαρκί.

*Ὠιδὴ γʹ. Στειρωθέντα μου τὸν νοῦν*

**Ῥ**ωμαλέᾳ τῇ ψυχῇ
τὴν ἰσχὺν τῶν αἰκισμῶν
ἀντεστρατεύσω,
ἀθλητὴς εὐσθενὴς
γεγονὼς τοῦ Ἰησοῦ,
μάρτυς Παγχάριε.

**Ἀ**ναβλύζεις ποταμοὺς
χαρισμάτων τοῖς πιστοῖς,
τῶν ἰαμάτων
τοὺς χειμάρρους στερρῶς
τῶν παθῶν, θαυματουργὲ
μάρτυς Παγχάριε.

**Β**ραβευόμενος ἡμῖν
δαψιλῶς τῶν ἀλγεινῶν
τὴν εὐρωστίαν
συντηρεῖς ἀσινεῖς
ἀμφοτέρωθεν ἡμᾶς,
μάρτυς Παγχάριε.

---

**392-394** cf. ConCon, 838 – **396-398** cf. *SynaxEC* 708:21-709:3: …*Ταῦτα μαθὼν ὁ βασιλεὺς δειναῖς μάστιξι καὶ τιμωρίαις <αὐτὸν καθυποβάλλει· ὡς δὲ μηδὲν ἤνυσαν> καὶ κολάσεις καὶ φυλακαὶ καὶ πάμπολλαι κακώσεις περὶ τὸν ἅγιον…*

---

LPaSb

**395** κατουσίαν L

heirm. γʹ EE 43, nr 57, Andreae Cretensis

**396** Ῥωμαλαία τῆι ψυχῇ L : Ῥωμαλαία τῆς ψυχῆς Pa : Ῥωμαλέω τῆς ψυχῆς Sb – **398** ἀντεστρατεύσας Pa : ἀντεστράτευσας Sb – **400** γεγονῶς L – **402-407** bis scr. in Sb – **402** Ἀναβλύζων PaSb – **409** δαψηλῶς L

*Θεοτοκίον.*

**Ἡ** χωρήσασα γαστρὶ
τὸν ἀχώρητον παντὶ
Χριστὸν δυσώπει
τοῦ σωθῆναι ἡμᾶς
ἐκ παγίδος θηρευτῶν,
τοὺς ἀνυμνοῦντάς σε.

*Ὠιδὴ δʹ. Τὴν ἐκ παρθένου σου γέννησιν*

**Ε**ὐδοκιμῶν τοῖς παθήμασι
τοῦ Χριστοῦ, ἠξιώθης
δοξασθῆναι σὺν αὐτῷ·
τῆς γὰρ προσκαίρου
δόξης κατέπτυσας, παμμάκαρ,
δόξης ἀοράτου
ἐρασθείς· διὸ χαίρεις
εὐχαρίστως, ὦ Παγχάριε, Θεῷ.

---

**420-421** cf. notationem ad vv. 396-398 – **423-424** cf. MV VII, 72: *…οὗτος, καταλαβὼν τὴν Ῥώμην, ᾠκειώθη τῷ βασιλεῖ· καὶ πρῶτος γενόμενος τῶν ὑπ᾽ αὐτῷ, ἠγαπᾶτο ὑπ᾽ αὐτοῦ ὑπερβαλλόντως. Διὰ ταῦτα οὖν, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην, οὗτος μὲν ἐξωμόσατο τὴν πρὸς Χριστὸν Πίστιν, ἐκεῖνος δὲ σιτηρέσια καὶ προσόδους παντοίας, τὰ μὲν τυπικῶς, τὰ δὲ δεσποτικῶς αὐτὸν διωρίσατο λαμβάνειν, καὶ κεκτῆσθαι εἰς ἀπόλαυσιν θεωρίας καὶ ἀνάπαυσιν· τοίνυν καὶ γέγονεν ὁμόφρων κατὰ πάντα τῷ βασιλεῖ…*; Menol 476B: *…τιμώμενος δὲ πρὸς καιρὸν τιμὴν παρὰ τῶν εἰδωλολατρῶν βασιλέων…*

---

LPaSb

**414** χωρέσασα PaSb – **416** δυσώπει χ(ριστὸ)ν PaSb

Post odem 3 Pa kathisma *Τὰς τῶν τυράννων ἀπειλὰς …* (=vv. 12-22).

Post kathisma Pa et post odem 6 Sb hoc synaxarion tradit: *Μηνὶ τῶ αὐτῶ ιστ´ μνημη τοῦ ἁγίου μάρτυρος παγχαρίου· καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν* (Pa add. *καὶ θαυματουργοῦ*) *τύχωνος ἐπισκόπου ἀμαθοῦντων* (Pa add. *πόλεως*) *τῆς κύπρου. Οὗτος εὐσεβεῖς ἔχων καὶ φιλοχρίστους κατὰ σάρκα π(ατέ)ρας … πρὸς τὴν μετάληψιν.* (cf. SynaxEC 751-754; MV X, 56-57). Pa add.: *Τῇ αὐτ(ῇ) ἡμέρ(α) μνήμ(η) τοῦ ἁγ(ίου) καὶ ἐνδό(ξου) προφήτ(ου) ἀμώς. Οὗτος ἦν π(ατὴ)ρ ἠσαΐου τοῦ προφήτου … καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ* (=SynaxEC 749:28-37; MV X, 53).

heirm. δʹ EE 43, nr 57, Andreae Cretensis

**424** κατέπτυσας δόξης PaSb

**Ὑ**περασπίζῃ, Παγχάριε,
ἐν τῇ χάριτι πάντας
τοὺς νοσοῦντας τοῦ Χριστοῦ·
ἐξεστηκότων
γὰρ σύνεσις καὶ παρειμένων
ὤφθης, θεόφρον,
ὡς ἰατήρ, ὡς ὑπάρχων
τοῦ ἁγίου πλήρης Πνεύματος Θεοῦ.

**Ἐ**ν σοὶ οἰκῆσαν, Παγχάριε,
τὸ πανάγιον Πνεῦμα,
χαρισμάτων σε πηγὴν
εὐθηνουμένην
ἀνέδειξεν ῥείθροις θαυμάτων·
ὅθεν φυγαδεύεις
ἀκαθάρτων πνευμάτων
f. 76v τὴν ἔνεδραν / ἀφθαρσίας ῥαντισμῷ.

*Θεοτοκίον.*

**Μ**ητρὸς τεχθείς, ἀναλλοίωτε,
ὑπὲρ λόγον ἀχράντου
ὡς ὑπέρθεος Λόγος,
τὴν ἁμαρτίαν
κατήργησας ἐν τῇ σαρκί σου·
ὅθεν σε ὑμνοῦμεν
ἐν μιᾷ ὑποστάσει
καὶ ἐν δύο φύσεσιν ὑπερτελῆ.

---

**450-451** cf. ConCon, 204, 216

---

LPaSb

**428** Ὑπερἀσπίζει L : Ὑπερασπίζει Sb – **433-434** θεόφρον, ὡς : θεοφρόνως PaSb – **436** οἰκήσαν L : οἰκήσας PaSb – **440** ῥεῖθροις L – **443** ῥαντισμῷ : φωτισμῶ PaSb – **445** ὑπερλόγον L : τὴν ὑπὲρ λόγον Pa – ἀχράντως Pa – **450** μιὰ L

*Ὠιδὴ ε΄. Ἄβυσσος ἁμαρτημάτων*

**Ἴ**θυνας ἐπὶ τὴν ἄνω
ὁδὸν σοφῶς τὴν ψυχήν σου,
τὴν ὁδὸν Χριστοῦ τῆς ζωῆς
ποθήσας, Παγχάριε·
διὸ τρυφῆς ἀπολαύεις ἀγήρω.

**Σ**τέφανον σαφῶς χαρίτων
ἡ θεία χάρις σοι πλέκει,
δι᾽ ἧς τὰ ποικίλα ἡμῶν
ἴᾶσαι παθήματα,
Παγχάριε, αὐτουργὲ τῶν θαυμάτων.

**Π**νεύματος πλησθεὶς ἁγίου,
πνευμάτων τῶν ἀκαθάρτων
τὴν ἐνέργειαν ἐμφανῶς
διώκεις, Παγχάριε,
πληρῶν ἡμᾶς ἁγιάσματος δόξης.

*Θεοτοκίον.*

**Ἕ**να σε τὸν τῆς Τριάδος
προσλήμματι ἀσυγχύτως
ἐπὶ γῆς λατρεύομεν, σεμνή,
γεννήσασαν Κύριον
διπλότητι ὡς Υἱὸν ὑπὲρ λόγον.

---

**467-471** cf. SynodOrth, 395-403

---

LPaSb

heirm. ε′ EE 44, nr 59, Germani – heirm. scr. in textu Sb – ἀνάγαγε, Κύριε, ἐκ φθορᾶς τὴν ζωήν μου EE : κ(ύρι)ε κ(ύρι)ε· ἀνάγαγε ἐκ φθορᾶς Sb

**453** σοφὸς L – **456** ἀγείρου Pa : ἀγήρου Sb – **457** σαφῶς PaSb : σοφῶς L – **458** θεῖα L – σοι : σου L – **460** ἴασαι Pa

*Θ(εοτοκίον)* Sb : (*Τριαδικὸν*) L

**469** λατρεύω Pa : λατρεύων Sb – **471** ὑπερλόγον L

*Ὠιδὴ στʹ. Ὡς ὁ προφήτης πάλαι …*
*… ἐκ πταισμάτων ἀμετρήτων.*

**Ἀ**νελλιπὴς ὑπάρχων
οὐρανίων, σοφέ, δωρεῶν,
πλουσίως τοῖς θαύμασιν
ἐμφανίζεις σεαυτὸν τοῖς ἐν γῇ,
βραβεύων τὴν ἴασιν
ἐν Χριστῷ τοῖς σοῖς οἰκέταις.

**Ν**ομίμως μαρτυρήσας,
τὴν χάριν τῶν ἰάσεων,
Παγχάριε, εἴληφας
ἀπελαύνειν τὰ δαιμόνια
ἐν Ἁγίῳ Πνεύματι
καὶ τὰς νόσους τῶν ἀνθρώπων.

**Χ**ρίσμα χρισθεὶς θαυμάτων,
μαρτυρήσας νομίμως, σοφέ,
παρέχεις τοῖς κάμνουσιν
εὐρωστίαν δαψιλῶς, ἀθλητά·
διὸ νῦν ἁγίασον
καὶ ἡμᾶς τοὺς σοὺς οἰκέτας.

f. 77r / **Ἀ**ξιονίκοις, μάρτυς,
δωρεαῖς τῶν θαυμάτων
Χριστὸς ἐστεφάνωσεν·
ᾧ ἐν δόξῃ λειτουργῶν, ἀθλητά,
σωθῆναι ἱκέτευε
τοὺς τελοῦντάς σου τὴν μνήμην.

---

LPaSb

heirm. στʹ EE 44, nr 58, Germani – heirm. scr. in textu LSb – οὕτω EE : οὕτως L – καγῶ L – φθορᾶς EE : φθορὰς L – ταχὺ EE : τάχος LSb – ἀμετρήτων EEPaSb : ἀμέτρων L

**475** γὴ L – **487** δαψηλῶς L – **490-495** om. Pa – **493** ᾧ : ὢ L : ὃν Sb

*Θεοτοκίον.*

**Ν**οῦς ἀπαθὴς ὑπάρχων,
ἁπλοῦς τε καὶ ἀσύνθετος,
ὁ Λόγος ὁ ἄχρονος
χρονικὴν ἀρχὴν ἐδέξατο
καὶ σάρκα παχύτητος
ἐκ παρθένου ἀσυγχύτως.

*Ὠιδὴ ζ′. Τρεῖς παῖδες ἐν καμίνῳ …*
*… εὐ(λ)ο(γητὸς ὁ Θεὸς*
*ὁ τῶν πατέρων ἡμῶν).*

**Ῥ**οαῖς τῶν σῶν αἱμάτων,
ἀθλοφόρε ἔνδοξε,
ἀποπνίξας τῶν ἐθνῶν τὴν ἄνοιαν
καὶ σωθεὶς νικητικῶς,
ἐβόας θεοφρόνως·

---

**502-504** cf. MV VII, 72: …*Καὶ ὁ Μάρτυς* [εἶπεν], *Παγχάριος μὲν τοὔνομα, Χριστιανὸς δὲ ἤμην ἐκ προγόνων· καὶ συναπαχθεὶς τῇ τοῦ βασιλέως ἀπάτῃ, γέγονα ὁμόφρων αὐτοῦ, κακῶς τοῦτο βουλευσάμενος· διορθωθεὶς δὲ σὺν Θεῷ ὑπὸ τῆς Μητρὸς καὶ τῆς Ἀδελφῆς, προσῆλθον τῷ Χριστῷ καὶ Θεῷ μου· καὶ νῦν σπεύδω ὑπὲρ αὐτοῦ ἀποθανεῖν, ἵνα τὴν ἄρνησιν, ἣν κακῶς ἐποιησάμην, ἀπαλείψω.*

---

LPaSb

**496** ἀπαθῆς L – **497** ἁπλοῦς τὲ L – **498** ὁ$^2$ om. Sb

Post odem 6 Sb hoc *synaxarium* tradit: Μηνὶ τῷ αὐτῷ ιστ′ ἄθλησις τοῦ ἁγίου μάρτυρος Παγχαρίου καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Τύχωνος ἐπισκόπου Ἀμαθούντων τῆς Κύπρου. Inc. Οὗτος εὐσεβεῖς ἔχων καὶ φιλοχρίστους τοὺς κατὰ σάρκα πατέρας. Des. τελουμένης δὲ τῆς θείας θυσίας, πεπύρους καὶ τελεσφόρους καὶ εὐχρίστους, πρὸς τὴν μετάληψιν. Τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς (αἰῶνας τῶν αἰώνων· ἀμήν) (cf. *AASS* Junii III 97-98; MV X, 56-57).

heirm. ζ′ EE 41, nr 55, Joannis monachi – heirm. scr. in textu L Sb – βασιλέα Κύριον ἐκήρυξαν EESb, βασιλέα τύραννον ἐνίκησαν L – εὐλογητὸς - ἡμῶν EEL, εὐ(λ)ο(γητὸς) εἶ, κ(ύρι)ε, ὁ θ(εὸ)ς (ὁ τῶν πατέρων ἡμῶν) Sb

**504** ἐθνῶν : ἐχθρῶν PaSb

«εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

**Ἱ**δρύσας τὴν καρδίαν
εὐσεβείᾳ, ἔνδοξε,
ἀσεβείας τὰς βάρεις διέρρηξας
καὶ τῆς πίστεως ἐδείχθης
ἀσάλευτος πύργος·
εὐλογητὸς ὁ Θεός,
ὁ ἐνισχύσας σε.

**Ἐ**ν Πνεύματι Ἁγίῳ
διώκεις, Παγχάριε,
πονηρῶν πνευμάτων τὴν ἐνέργειαν,
καὶ καθαίρων τοὺς ἀνθρώπους,
προτρέπεις ἐκβοῆσαι·
«εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

**Θ**αυμάτων ἀναβλύζεις
πελάγη, Παγχάριε,
καὶ βυθίζεις πᾶσαν νόσον ἀνθρώπων·
διὸ ὤφθης χαρισμάτων
πηγὴ τοῖς βοῶσιν·
«εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

---

**507-508, 521-522, 528-529** EE 41, nr 55, vv. 50-51 [cf. Dan 3:26, 52]

---

LPaSb

**507-508** εὐ(λ)ο(γητὸς) ὁ θ(εὸ)ς (ὁ τῶν πατέρων ἡμῶν) L : εὐ(λ)ο(γητὸς - ἡμῶν) Pa : εὐ(λ)ο(γητὸς) εἶ, (Κύριε - ἡμῶν) Sb (cf. heirm. Sb) – **509-515** om. Pa – **509** Ἰδρύσας L – **510** εὐσεβεῖα L – **511** ἔρρηξας Sb – **513** ὡς πύργος Sb – **520** ἐκβοήσαι L – **521-522** εὐ(λ)ο(γητὸς - ἡμῶν) L : εὐ(λ)ο(γητὸς) εἶ ὁ θ(εὸ)ς (ὁ - ἡμῶν) Sb – **524** πελάγει Sb – **527** ἐκβοῶσιν PaSb – **528-529** εὐ(λ)ο(γητὸς - ἡμῶν) LSb : +ὁ τ(ῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ)+ Pa

*Θεοτοκίον.*

**Τ**ὸν ἕνα τῆς Τριάδος
συλλαβοῦσα, ἄχραντε,
ὑπὲρ λόγον τέτοκας ἐν Πνεύματι,
ὃν ὑμνοῦντες εὐσεβῶς,
βοῶμεν ὀρθοδόξως·
«εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

*Ὠιδὴ η΄. Τὸν πάλαι δροσίσαντα …*
*… εὐ(λ)ο(γεῖτε)*
*καὶ ὑπ(ερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας).*

**Ἀ**νδρείως κατέβαλες,
ἀθλοφόρε, τὸν τύραννον ἐχθρόν·
Χριστοῦ γὰρ σθενοῦντός σε,
κατενάρκησεν τῆς πλάνης ἡ ἰσχύς·
ὅθεν ὤφθης ἀνόρθωσις
f. 77v παρει/μένων
καὶ ἐξεστηκότων σωφρονισμός, παμμάκαρ.

---

**535-536** EE 41, nr 55, vv. 50-51 [cf. Dan 3:26, 52]

---

LPaSb

**532** ὑπερλόγον L – ἐν Πνεύματι om. PaSb – **533** ὂν L – **535-536** εὐ(λ)ο(γητὸς - ἡμῶν) L : εὐλογητὸς ὁ θ(εὸ)ς (ὁ - ἡμῶν) Pa : εὐ(λ)ο(γητὸς) ὁ θ(εὸ)ς (ὁ - ἡμῶν) Sb

heirm. η΄ EE 42, nr 56, Andreae caeci – heirm. scr. in textu LPaSb – φλογὶ EEPaSb : πυρὶ L – εὐλογεῖτε καὶ υπ(ερυψοῦτε – αἰῶνας) L : εὐ(λ)ο(γεῖτε) καὶ ὑπ(ερυψοῦτε – αἰῶνας) Sb

**539** σθενοῦντος σε L

**Ὑ**ψώθη τὸ κέρας σου
ἐν Χριστῷ καὶ κατέβαλες ἐχθρῶν
ὑψαύχενον φρόνημα·
διὸ δέδεξαι θαυμάτων ἀμοιβὴν
ἰατρεύειν τοὺς πάσχοντας
πολυτρόπως
χάριτι τῇ θείᾳ, Παγχάριε παμμάκαρ.

**Μ**αρτύρων καλλώπισμα
εὐκλεὲς ἀνεδείχθης, ἀθλητά,
κοσμούμενος χάριτι
τῶν θαυμάτων καὶ τῶν ἄθλων εὐσεβῶς·
δι᾽ ἀμφοῖν δὲ στεφόμενος
ἀναμέλπεις·
«σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς τοὺς αἰῶνας».

*Θεοτοκίον.*

**Ο**ὐ τρέψας εἰς ἄλληλα
τὰ τῶν φύσεων, Λόγε τοῦ Θεοῦ,
σαφῶς ἰδιώματα,
εἷς κατ᾽ ἄμφω ὤφθης τέλειος ἡμῖν,
ἐκ παρθένου ἀρχόμενος
κατὰ σάρκα,
ἣν ἀκαταπαύστως πιστῶς δοξολογοῦμεν.

---

**544-546** cf. 1 Regn 2:1; Od 3:1

---

LPaSb

**547** δέξαι L – **548** ἰατρεύεις L – **549** πολλυτρόπως L – **550** θεῖα L – **555** διαμφοῖν L – **557** σὲ ὑπὲρυψοῦμεν (εἰς αἰῶνας) Pa : σὲ ὑπ(ερυψοῦμεν – αἰῶνας) Sb – **558** ἄλληλα : ἄλλημα Sb – **561** εἷς L – κατάμφω L – **563** κατασάρκα L – **564** ἣν L

*Ὠιδὴ θ′. Τὴν ἁγνὴν καὶ ἄχραντον …*
*… εὐσεβῶς ὡς θεοτόκον μεγ(αλύνομεν).*

**Ἀ**κοὴ ἀνοίγεται
καὶ οἱ νωδοὶ φωνοῦσιν
τῇ ἐνεργείᾳ, Παγχάριε, τοῦ Χριστοῦ
ὡς ἀλάλους μεγαλύνειν σου τὰ θαύματα.

**Τ**ῶν δαιμόνων φεύγουσιν
αἱ δυναστεῖαι πᾶσαι
τῇ ἐνεργείᾳ τοῦ Πνεύματος τοῦ ἐν σοὶ
ὡς ἀσυνέτους σὲ φρονήσει μεγαλύνειν, σοφέ.

**Ὡ**ς ἀστὴρ ἐξήστραψας
ἀειφανὴς τῷ κόσμῳ
τῇ τῶν θαυμάτων, ἅγιε, ἀστραπῇ
τοῖς ἐν τῷ σκότει τῶν παθῶν τὴν ῥῶσιν λάμπων σαφῶς.

**Ν**εουργῶν, Παγχάριε,
τὰ τῶν θαυμάτων πλήθη,
τοὺς ἐκτελοῦντας πίστει σου τὴν σεπτὴν
καὶ σεβάσμιον ἑορτὴν σῶζε καὶ φύλαττε.

*Θεοτοκίον.*

**Σ**υλλαβοῦσα, ἄχραντε,
τὸν ἕνα τῆς Τριάδος,
διπλοῦν ἀτρέπτως τέτοκας ἐν σαρκί·
διό σε πίστει εὐφημῶν, τὴν προσευχὴν ἐκπληρῶ.

---

LPaSb

heirm. θ′ EE 43, nr 57, Andreae Cretensis – heirm. scr. in textu LPaSb – ἀγνὴν L – ἅπαντες EEPaSb : ἀπαύστως L – εὐσεβῶς ὡς θεοτόκον EEPaSb : ὡς θεομήτορα L – μ(ε)γ(αλύνομεν) L

**567** ἐνεργεῖα L – **568** ἀλήλους Sb – **570** αἰ L – **571** ἐνεργεῖα L – **573-576** om. Pa – **576** σαφῶς : σοφέ Sb – **580** σώζε L – **583** ἐν om. PaSb – **584** διὸ σε L – ἐκπληρῶν Pa

## 17

## In ss. mm. Manuelem, Savelem and Ismaelem

(vv. 1-11, 23-103, 131-334)

## In s. Hypatium abbatum monasterii Ruphiniani

(vv. 12-22, 104-130, 335-607)

f. 78r *| Μηνὶ τῷ αὐτῷ ιζ′ τῶν ἁγίων μαρτύρων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαὴλ καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ὑπατίου τοῦ ἐν ταῖς Ῥουφινιαναῖς.*

*Κάθισμα.*
*Ἦχος α′. Πρὸς τὸ Τὸν τάφον σου, σωτήρ, στρατιῶται (τηροῦντες)*

1-11 **Ὡ**ς τρίφωτος λαμπὰς
τῷ πυρὶ τῆς Τριάδος …….. = AHG X, IX, pp. 105-106.

*Ἄλλον τοῦ ὁσίου.*
*Ἦχος ὁ αὐτός. Πρὸς τὸ Τὸν τάφον σου, σωτήρ*

**Ὁ** τάφος σου ἡμῖν
ἰαμάτων ἀκτῖνας
ἐκπέμπει ἐν αὐτῷ

---

LSAPbO (vv. 1-11) — LSHIa (vv. 12-14)

**Tit**. Μηνὶ τῶ αὐτῶ ιζ′ τῶν ἁγίων μαρτύρων μανουὴλ· σαβὲλ· καὶ ἰσμαὴλ A – Μη(νὶ) τῷ αὐτῷ ιζ′ Τῶν ἁγίων μαρτύρων μανουὴλ· σαβὲλ· καὶ ἰσμαὴλ Pb : Τῶ αὐτῶ μη(νὶ)· ιζ′· τῶν ἁγίον μαρτύρων μανουῆλ σαβέλ (p.c. ex σαβὲλ) καὶ ἰσμαήλ O – Τῆ αὐτ(ῆ) ἡμέ(ρα) τοῦ ἁγίου καὶ θαυματουργοῦ ὑπατίου τοῦ ἐν ῥουφινιαναῖς H : Μηνὶ τῶ αὐτῶ· ιστ′· τοῦ ἁγίου καὶ θαυματουργοῦ· τύχωνος· καὶ τοῦ εναγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμῶν ὑπατίου· ἐπισκόπου γαγγρῶν Ia – πατρὸς ἡμῶν καὶ θαυματουργ(οῦ) deest S – ταῖς om. S – ῥοφινιαναῖς L

**1-11** post odem 3 A : in marg. S : deest PbO

Post Odem 3 Pb et post odem 6 O hoc *kathisma* tradit: *Ἦχος πλ. δ′. Πρὸς τὸ Τὴν Σοφίαν καὶ Λόγον.* Ἐκ περσίδος φωστῆρες φωτοειδεῖς… (=Appendix VI, vv. 1-17).

heirm. kath. PaAD, 24-25; Chr-Par, 54 – **12-22** incipit kath. ed. in EfstrTam 50 (1951) 335 (ex cod. S) – **12-22** in marg S : deest HIa

**13** ἰαμάτων L – ἀκτίνας L – **14** ἐναυτῶ L

κεκρυμμένον σε ἔχων
ὡς ἥλιον ἄδυτον,
θεοφόρε Ὑπάτιε·
ὅθεν σήμερον
τὴν φωτοφόρον σου μνήμην
ἑορτάζομεν
ἐν εὐφροσύνῃ καρδίας,
ἀξίως τιμῶντές σε.

*Τὸ κονδάκιον.*
*Ἦχος δʹ. Πρὸς τὸ Ἐπεφάνης σήμε(ρον)*

23-29 **Τ**ῶν μαρτύρων σήμερον τὴν θείαν μνήμην…
…………….. = TRM II σιδʹ; Laur 119; AmphKond 122.

*Ὁ οἶκος.*

**Τ**ρεῖς ἐκ Περσίδος φαεινοὶ
ἀστέρες τοῖς Ῥωμαίοις
ἀνέτειλαν φωτίζειν
φωτὶ τοῦ μαρτυρίου,
Μανουὴλ ὄντως ὁ κλεινὸς

---

**30** ἐκ Περσίδος] cf. *AASS* Iunii III, 290F: *…ἐκ τῆς χώρας τῶν Περσῶν ὁρμώμενοι…*; Latyšev II, 67:24-25: *…τὴν Περσῶν μὲν ἔσχον χώραν καὶ πατρίδα καὶ οἴκησιν…*; SynaxEC, 753 et MV X, 60: *Οὗτοι ὑπῆρχον ἐκ Περσίδος…*; Menol, 501: *…ὑπῆρχον μὲν ἐκ χώρας Περσίδος…*; MartMSI, 57: *Τούτων τῶν γενναιοτάτων, Περσὶς μὲν ἡ Πατρίς…*

---

LSHIa (vv. 15-22) — LAPbO (vv. 23-34)

**15** κ(αι) κρυμμένων S – **22** τιμῶντες σε H

In vv. **12-22** Ia hoc kathisma tradit: *Ἦχος δʹ. Πρὸς τὸ Ταχὺ προκατάλαβε*. Ἀσκήσει ἐμάρανας τὰς τῆς σαρκὸς ἡδονὰς… (=Appendix VII, vv. 1-11).

**23-46** Τῶν – κραταίωμα om. APbO – In vv. **23-46** PbO hoc kontakion et oikos trad.: *Κοντ(άκιον). (Ἦχος) βʹ. Τὰ ἄνω ζητῶν.* Τῇ πίστει Χριστοῦ τρωθέντες, τρισμακάριοι… (=TRM II, σιεʹ). *Ὁ οἶκος.* Τὴν ἀπαρχὴν τοῦ θείου σου κάλλους… (= TRM II, σιϛʹ [inc.]; AmphKond, 122).

**30-46** ed. in AmphKond, 122-123; incipit ed. in EfstrTam, 50 (1951) 333 (ex codd. Pc, f. 42r; Paris. gr. 1569, f. 114v; Athon. Laurae Γ28, f. 167r) – **30** φαϊνοὶ AmphKond – **31** ῥωμαῖοις AmphKond – **34** ὄντως AmphKond – κλινὸς AmphKond

καὶ Σαβὲλ ὁ θεῖος
καὶ Ἰσμαὴλ ὁ θαυμάσιος,
δι᾿ ὧν τὸ σκότος λέλυται τῆς εἰδωλομανίας
καὶ ἅπασαν φάλαγγα δαιμόνων
ὀλοθρεύει καὶ διώκει
πηγάζων τὰ ἰάσεων ῥεῖθρα,
μεθ᾿ ὧν νῦν οἱ πιστοὶ
ψυχαῖς λαμπροφόροις,
διανοίαις καθαραῖς
τούτους ἀξίως μέλψωμεν Χριστῷ,
τὸν ὕμνον ἐκβοῶντες.

*Ἀνακλώμενον*: Σὺ τῶν μαρτύρων ὑπάρχεις κραταίωμα.

*Στιχηρά.*
*Ἦχος δʹ. Πρὸς τὸ Ὡς γενναῖον ἐν μάρτυσιν*

47-57 **Ὡ**ς ἀστέρες πολύφωτοι καὶ ποιμένες ὀρθόδοξοι
f. 78v / θεϊκαῖς λαμπρότησι ........................ = MV X, 58.
58-68 **Μ**ανουὴλ ὁ θαυμάσιος καὶ Σαβὲλ ὁ μακάριος
..................................................... = MV X, 58.
69-79 **Β**ασιλέα παράνομον παρανόμως προστάττοντα
..................................................... = MV X, 58.

---

**40** cf. Latyšev II, 72:9-12: *…τὰ μαρτυρικὰ … λείψανα, λαβόντες αὐτὰ καὶ φιλοτίμως κηδεύσαντες ἐντίμως κατέθεντο, πολλὴν τὴν ἴασιν ἀναβλύζοντα καὶ τοῖς φοιτῶσι τὴν χάριν δωρούμενα…*; MartMSI, 75-76: *…ἄφνω καὶ τὰ τῶν Ἁγίων σώματα θαυμασίως ἡ γῆ ἀναδέδωκε, πολλῆς ὅσης τῆς εὐωδίας πληρούμενα. Καὶ οὕτως ἀνελόμενοι, καὶ ἐντίμως τὰ τίμια καταθέμενοι, ἐκήδευσαν μεγαλοπρεπῶς, μυρίαν ὅσαι ὥρας τῆς ἡμέρας τὴν ἴασιν ἀναβλύζοντα, καὶ τοῖς φοιτῶσι τὴν χάριν δωρούμενα…*

---

LAPbO

**36** ἑισμαὴλ AmphKond – θαυμαστὸς AmphKond – **37** διοῦ τὸ L : δι οὗτο AmphKond – ἐιδολομανίας AmphKond – **39** ὁλοθρέυει ἐκδιόκει AmphKond – ὁλοθρεύει L – **40** πηγάζοντα AmphKond – τα L – ῥῆθρα AmphKond – **41** μεθῶν L : μεθ ὧν AmphKond – **45** post ἐκβοῶντες add. νῦν AmphKond – **46** Ἀν(ακλώμενον) : Σὺ - κρατ(αίωμα) rubr. in L : <Ἀνακλώμενον.> σὺ τῶν (μαρτύρων ὑπάρχεις κραταίωμα) AmphKond

*Ἄλλα.*
*Ἦχος πλ. δ′. Πρὸς τὸ Ὢ τοῦ παραδόξου θαύμ(α)τ(ος)*

**Τ**ρεῖς ἐκ Περσίδος ἀνήφθησαν
θεογνωσίας πυρσοὶ
θρυαλλίδι τοῦ Πνεύματος,
Μανουὴλ ὁ ἔνδοξος
καὶ Σαβὲλ ὁ θαυμάσιος
καὶ Ἰσμαὴλ τε ὁ γενναιότατος,
καὶ πᾶσαν κτίσιν ἄθλων λαμπρότησιν
καὶ καταυγάζουσιν,
ὧν τὴν μνήμην σήμερον
τὴν φωταυγῆ,
ἀρεταῖς λαμπόμενοι,
ἐπιτελέσωμεν.

*Ὅμοιον.*

**Φ**ύλακες θεῖοι γενόμενοι
τῶν προσταγμάτων Χριστοῦ,
βασιλέα παράνομον
προφανεῖς ἠλέγξατε

---

**80** cf. notationem ad v. 30 – **94** cf. *AASS* Iunii III, 296D: *…Ἐπράχθη δὲ ταῦτα … βασιλεύοντος τοῦ ἀνόμου βασιλέως Ἰουλιανοῦ … καὶ ἣν ἀποστείλας* [imperator Persorum] *τῷ πανανόμῳ Βασιλεῖ Ἰουλιανῷ…*; MartMSI, 55: *…Ἰουλιανὸν οιδ᾽ ὅτι πάντες τὸν παραβάτην ἐπέγνωτε…* – **94-95** cf. Menol, 501: *Καὶ ἀχθέντες ἐνώπιον αὐτοῦ ἤλεγξαν αὐτόν…*; *AASS* Iunii III, 292F: *…Οἱ δὲ ἅγιοι μάρτυρες ἐπικριθέντες εἶπον αὐτῷ· Δυσσεβὲς καὶ ἀνόσιε βασιλεῦ, πῶς ἀνόητος ὑπάρχεις, ὅτι σὺ καθεκάστην προσιῶν τοῖς θεοῖς σου, οὐ βλέπεις τὴν προσοῦσαν αὐτοῖς ἀφωνίαν, ὅτι λίθοι ὑπάρχοντες ἄψυχοι, καὶ ὄντες οἰκητήρια δαιμόνων, πλανῶσι τὰς ψυχὰς τῶν ἀνθρώπων…*; cf. MartMSI, 65-67

---

LAPbO (et in vv. 80-103 S)

heirm. stich. PaAD, 871 – **80-130** deest APb – **80-103** inc. ed. in EfstrTam, 50 (1951) 331 (ex codd. S; Gd; Ge; Pc, f. 42v; Pd, f. 122r; Paris. gr. 1569, f. 113r; Athon. Laurae Δ10) – **84** θα[υ]μ[ά]σιος lac. O – **85** καὶ : ὁ S – **86** [πᾶ]σα κτισιν lac. O – **87** καταφωτίζουσιν S : κα[τα]φωτίζουσιν lac. O – **88** σήμ[ε]ρ[ο]ν lac. O – φωταυγὴ L – **90** λαμπόμεν[ο]ι lac. O – **92** Φύλακαις L : Φύλ[ακε]ς lac. O – γεν[ό]μενοιlac. O – **93** [τ]ῶν lac. O – προσταγμάτω[ν] lac. O – **95** προφανῶς SO

καὶ νομίμως ἠθλήσατε·
καὶ τοῦ δεσπότου θύματα τέλεια
ἀναδειχθέντες αἱμάτων ῥεύμασιν,
ἅγιοι μάρτυρες,
Φαραὼ ἀόρατον
σὺν ταῖς αὐτοῦ
φάλαγξιν ὠλέσατε,
νίκην ἀράμενοι.

---

**100-102** cf. Exod 14:21-28

---

**98** cf. Latyšev II, 69:35-70:3: …[imperator Julianus] *παραυτίκα τῇ γῇ διακελεύει ταθῆναι τοὺς μάρτυρας καὶ λώροις ὠμοῖς καὶ ξηροῖς διὰ τεσσάρων αἰκίζεσθαι. καὶ τούτου γενομένου, αἵμασιν αὐτῶν ἦν ἰδεῖν τοῖς τιμίοις τὸ ἔδαφος ὅλον καταρρανθέν…*; MartMSI, 67: … *παραυτίκα τῇ Γῇ διακελεύει ταθῆναι τοὺς μάρτυρας καὶ λώροις ὠμοῖς καὶ ἀπεσκληκόσι διὰ τεσσάρων τύπτεσθαι. Οὗ γεγονότος, ὅλον αὐτοῖς τὸ σῶμα τοῖς αἵμασιν ἐδείχθη κατάῤῥυτον…* – **107-108** cf. *AASS* Iunii III, 295C: …*Καὶ πληρωσάντων αὐτῶν τὴν εὐχὴν ἦλθε φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα αὐτοῖς· Καλοί μου ἀγωνισταὶ καὶ ἀθλοφόροι, ἀπέλθετε εἰς τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, ἀπολάβετε τοὺς στεφάνους τῆς νίκης ὑμῶν…* Latyšev II, 71:37-72:2: …*ταῦτα τῶν μαρτύρων εἰπόντων φωνὴ ἄνωθεν ἠνέχθη, «Δεῦτε» λέγουσα, «τοὺς στεφάνους τῆς νίκης ληψόμενοι· καλῶς γὰρ ἡμῖν ὁ δρόμος διήνυσται»* [cf. 2 Tim 4.7-8]

---

LAPbO (et in vv. 80-103 S)

**100** φαραῶ L – τοῖς L – **102** φάλαξιν LS : φαλαξιν O

Post vv. **92-103** SO hoc sticheron tradit: *Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.* Αἵμασιν ὑμῶν ἐβάψατε μαρτυρικοῖς ἑαυτοῖς… (=Appendix VI, vv. 18-29).

Post sticheron Αἵμασιν ὑμῶν ἐβάψατε… in O hoc theotokion tradit: […]ληφαν παρὰ Θεοῦ οἱ ἔνδοξοι μάρτυρες… (=Appendix VI, vv. 30-40).

In vv. **92-103** Pb hoc stichera trad.: *Στιχηρὰ προσόμοια. Ἦχος δ'. Πρὸς Ὡς γενναῖον ἐν μάρτυσι.* Ταῖς αὐγαῖς ταῖς τοῦ Πνεύματος…, Ἐν σκηναῖς αὐλιζόμενοι…, Μανουὴλ ὁ θαυμάσιος…, Βασιλέα παράνομον… (=Appendix VI, vv. 41-84).

f. 79r | *Ἄλλα τοῦ ὁσίου.*
*Ἦχος α΄. Πρὸς τὸ Τῶν οὐρανίων ταγμάτ(ων)*

**Σ**υναγελάζων ὁσίων
ταῖς ὁμηγύρεσι
καὶ τῷ φωτὶ τῷ θείῳ
αὐγαζόμενος, πάτερ,
καὶ θρόνῳ τοῦ δεσπότου
παρεστηκώς,
ὑπὲρ πάντων ἱκέτευε
τῶν εὐσεβῶς σου τελούντων τὴν ἱερὰν
καὶ παγκόσμιον πανήγυριν.

*Ὅμοιον.*

**Ἐ**ν ἀρεταῖς διαλάμψας,
πάτερ Ὑπάτιε,
ἥλιος ὤφθης μέγας,
σελασφόροις ἀκτῖσι
θαυμάτων καταυγάσας
τοὺς ἐπὶ γῆς

---

**113** cf. VH, 84 (et *AASS* Iunii III, 312E): *Τοσοῦτον δὲ ἐφήψατο τῆς ἀσκήσεως ὁ Ὑπάτιος, ὡς ὑπερβάλλεσθαι πάντας, μικροῦ δεῖν καὶ τὸν ἡγούμενον, ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ψαλμῳδίᾳ καὶ εὐχῇ καὶ ὑπακοῇ καὶ ἡσυχίᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀκτημοσύνῃ καὶ πάσῃ ἀρετῇ…*; cf. SynaxEC 754 et MV X, 60: *…καὶ πάσῃ ἀρετῇ κοσμηθεὶς…* – **116-118** cf. VH, 226 (et *AASS* Iunii III, 334D): *…Περὶ δὲ τραυματικῶν ἢ χωλῶν ἢ τυφλῶν ἢ παραλυτικῶν ἢ ἀῤῥώστων, ὅσους ὁ Κύριος ἰᾶτο διὰ τῶν εὐχῶν αὐτοῦ, οὔτε ἐξηγήσασθαι τὸ καθ᾽ ἓν δυνατόν…*; cf. SynaxEC 754 et MV X, 60: *Ὁπόσα δὲ δι᾽ αὐτοῦ θαύματα τελοῦνται, ἀδύνατον γράφειν…* (*γράψαι* in MV)

---

LSHIa
heirm. stich. PaAD, 42 – **104-130** inc. stich. ed. in EfstrTam, 50 (1951) 335 (ex cod. S) – **105** ταῖς ὁμηγύρεσι : τὴν θείαν ὄντως ζωὴν L – **106** θεῖω L – **109** παρεστηκῶς L – **110** ὑπερπάντων L – **111** τελοῦντων L – **116** σελασφόροις ἀκτῖσι : ἀρετῶν δαδουχίαις L
In vv. **104-130** Ia hoc stich. trad.: *Ἕτερα προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε (νεκρόν).* Ὄρθρος ἐξανέτειλας ἡμῖν…, Νέφος διαβὰς τὸ τῆς σαρκὸς…, Χάρις ἡ τοῦ Πνεύματος ἐν σοὶ… (=Appendix VII, vv. 12-47).

καὶ παθῶν τὴν σκοτόμαιναν
διασκεδάσας καὶ ποίμνης πνευματικῆς
ἡγησάμενος ἐν χάριτι.

*Ὅμοιον.*

**Μ**οναδικῶς διαπρέψας
καθάπερ ἄγγελος
τῆς ἐγκρατείας πόνοις
τῆς σαρκός, θεοφόρε,
ἐκοίμησας τὰ πάθη
καὶ πρὸς Χριστὸν
μετετέθης γηθόμενος,
ἄγρυπνος φύλαξ ὑπάρχων καὶ πρεσβευτὴς
τῶν τιμώντων σε, Ὑπάτιε.

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Μανουήλ, Σαβέλ, Ἰσμαὴλ σέβω πόθῳ· <ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου>.*

*Ἦχος δʹ. Ὠιδὴ αʹ. Θαλάσσης τὸ ἐρυθραῖον πέ(λαγος)*

**Μ**αρτύρων ἡ τριφεγγὴς ἐκλάμψασα
χορεία ἤλασεν
εἰδωλικὴν ὀμίχλην ἐκ τῆς γῆς

---

**122-123** cf. VH, 122 (et *AASS* Iunii III, 320E): *...ἐν τῷ ἁγίῳ πάσχᾳ προϊὼν ἐκ τοῦ προσώπου ἐφαίνετο ὡς ἄγγελος Θεοῦ πεπληρωμένος θείας χάριτος...* – **124-125** cf. VH, 88-90 (et *AASS* Iunii III, 313C-314E): *Πλειστάκις δὲ ὀχλούμενος ὑπὸ τοῦ δαίμονος ὡς νεώτερος τῆς μυσαρᾶς ἡδονῆς τῆς τοῖς νέοις ἐνοχλούσης... Μιᾶς οὖν ἡμέρας ὁ Ὑπάτιος πάνυ πολεμηθεὶς ὑπὸ τοῦ πολέμου τούτου ἐν τοῖς καύμασι πεντήκοντα ἡμέρας οὐκ ἔπιεν, σκληροκοιλιάσαντος δὲ αὐτοῦ καὶ τὰ χείλη αὐτοῦ τῇ ξηρότητι διεῤῥάγη.*

---

LSHIa (vv. 122-130) — LAPbO (vv. 131-133)

**124** ἐγκρατεῖας L – **127** Χριστὸν : θ(εὸ)ν HS – **130** τιμῶντων L

**Tit. kan**. τήνδε om. O – τῶ πόθω A

Incipit kanonis ed. in EfstrTam, 50 (1951) 334 (ex cod. Pb).

heirm. αʹ EE 94, nr 133, Joannis monachi

**132** χορεῖα L – ὁμίχλην L

καὶ ἀκτῖσι τῆς πίστεως
τῆς ἀληθοῦς ἐφαίδρυνεν
ἀνθρώπους γνόντας τὸν τῶν ὅλων Θεόν.

**Ἀ**νθήσας ὡς εὐσεβείας βλάστημα
ἐν τῷ τῆς πίστεως
θείῳ λειμῶνι, μάρτυς Μανουήλ,
τοὺς συνάθλους κατέθελξας
ἐν εὐωδίᾳ τῶν λόγων σου
εἰς τὴν ἐπίγνωσιν τοῦ κτίσαντος.

**Ν**αμάτων ἐμφορηθέντες, ἅγιοι,
Χριστοῦ τῆς γνώσεως
καὶ ποταμοὶ δειχθέντες νοητοί,

---

**137-142** cf. AHG IX, XXIII, 71-75 (Georgii, in s. Thalelaeum): *Θάλλων νοητῶς ἐν λειμῶνι τῷ τῆς πίστεως, εὐωδίαν πᾶσιν ἔπνευσας τοῦ μαρτυρίου, παναοίδιμε Θαλέλαιε.* – **143-148** cf. AHG II, XIV, 94-103 (Georgii, in ss. Probum, Taraxhum et Andronicum): *Γνῶσιν θεοῦ ἄπταιστον καταπλουτήσαντες τὰ τῆς πλάνης ἤλεγξαν σοφίσματα οἱ ἀθληταί, δείξαντες ψευδῆ πᾶσαν τῶν ἑλλήνων σοφίαν τὴν ἐν τοῖς ῥήμασιν, ἐν ἔργοις φανεροῦντες τὸν τῆς πίστεως λόγον ἀληθῆ καὶ ἀσάλευτον μένοντα.*

---

**140-142** cf. *AASS* Iunii III, 293C: *…Ὁ δὲ βασιλεὺς Ἰουλιανὸς … λέγει τῷ Σαβὲλ καὶ τῷ Ἰσμαήλ· … οἶδα γὰρ ὅτι ὁ ἀπονενοημένος ὑμῶν ἀδελφὸς οὗτος ἀναπείθει ὑμᾶς, ἵνα μὴ θυσίαν προσαγάγητε αὐτοῖς* [deis]…; Latyšev II, 70:31-35: …[imperator Julianus] *τοῖς δυσὶ μόνοις, τῷ τε Σαβὲλ καὶ τῷ Ἰσμαήλ, τοιούσδε λόγους προσάγει, «Ὁ μὲν κακῇ μοίρᾳ» φήσας «ἐκ τοῦ εὐγενοῦς ὑμῶν πατρὸς γεννηθείς, ὃν οὐκ ἀδελφὸν ὑμῖν λέγω, φιλόνικος ὢν οὐ τὰ συμφέροντα φρονεῖ οὐδὲ καλῶς ὑμῖν συμβουλεύει»…*; MartMSI, 69: *…τοῖς δυσὶ μόνοις τῷ τε Σαβὲλ καὶ τῷ Ἰσμαήλ, λόγους δεῖν ᾠήθη πάλιν ἐπάξειν φαινακισμοῦ, συμβουλεύων δῆθεν, καὶ τὰ βέλτιστα ὡς ᾤετο παραινῶν. Ὁ μὲν κακῇ, φησί, μοίρᾳ ἐκ τοῦ εὐγενοῦς ὑμῶν φὺς πατρός, οὔπω γὰρ ἀδελφὸν αὐτὸν ὑμέτερον κακοήθη ὄντα καὶ βάσκανον εἴποιμι, ἰταμὸς καὶ τὰ πάντα δύσσερις ὤν, ἀπονενοημένα καὶ πράττει καὶ φρονεῖ,, παραπείθων καὶ ὑμᾶς τοῖς ἐκείνου στοιχεῖν, καὶ μήτε περὶ τὸ σέβας συμφέρεσθαι ἡμῖν, μήτε περὶ τὴν τιμὴν τῶν θεῶν, μήτε περὶ ἄλλα μηδέν…*

---

LAPbO

**134** ἀκτίσι L – πίστεω[ς] lac. O – **135** τοὺς [ἀληθ]ους lac. O – ἀληθοὺς A – **136** γνῶντας L – **137** εὐσεβεῖας L – **138** τῷ om. A – **139** θείῳ om. Pb : θεῖω L – **141** ἐν om. APbO – **142** κτίσαντος : κτίστου σου A – **143** ἅγιοι : μάρτυρες O – **145** νοη[τ]οὶ lac. A

τὰ τῆς πλάνης σοφίσματα
ἐνθέως κατεκλύσατε
καὶ τοὺς ἀνθρώπους κατηρδεύσατε.

*Θεοτοκίον.*

**Γ**λυκέοις τῆς σῆς ἀγάπης βέλεσι
f. 79v τοὺς τετρωμένους, / ἁγνή,
τῶν ἀρετῶν γλυκύτητι ἡμᾶς
καθηδύνουσα, δέσποινα,
πρὸς μόνον χειραγώγησον
τῶν ὀρεκτῶν Χριστὸν πρεσβείαις σου.

*Ὠιδὴ γʹ. Εὐφραίνεται ἐπὶ σοὶ*

**Ὁ** ἔρως σε, Μανουήλ,
ὁ τοῦ Κυρίου πυρπολῶν ἔφλεξεν
τὴν τῶν παρόντων στοργὴν
καὶ μόνον ποθεῖν παρεσκεύασεν.

**Ὑ**πέταξε Μανουὴλ
μετὰ συνάθλων μανικὸν φρόνημα
τοῦ παραβάτου ἐχθροῦ
καὶ τοῦτον ἀνόητον ἔδειξεν.

---

**146-147** cf. *AASS* Iunii III, 293C-294D et 294F; Latyšev II, 69:2-71:25a; MartMSI, 62-73 – **161** cf. notationem ad vv. 94 – **162** cf. notationem ad vv. 94-95

---

LAPbO

**154** τὸν ὀρεκτὸν O : τὸ ὀρεκτὸν Pb – πρεσβεῖαις L

In vv. **149-154** A hoc *theotokion* tradit: Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι … =MV X, 26; AHG II, VIII, 19-24; AHG IV, XI, 19-24 et XXI, 19-24 (Methodii); AHG VI, XIV, 19-24; AHG VIII, XVII, 31-36 heirm. γʹ EE 94, nr 133, Joannis monachi

**155** σὲ L : σου Pb – **157-158** τὴν τῶν παθῶν ἔφλεξας· κάμινον ἰσχύει τοῦ πν(εύματο)ς A – **158** [πα?]θεῖν πα[ρε]σκέ[βασ]εν lac. O – vv. **159-162** post vv. **163-166** in A trad. – vv. **159-166** hoc trad. in O : v. 159 + v. 164 + vv. 161-162 (Ὑπέταξεν μανουὴλ ἐν μυριάσιν σαβὲλ σύμμαχοι τοῦ - ἔδειξεν) et v. 163 + v. 160 + vv. 165-166 (Ηρίστευσεν μανουῆλ μετα συνάθλων μανικῶν φρονημα καὶ - ἔστησεν) – **159** Ὑπέταξεν L – **161** παρα[βάτο]υ lac. A – **162** τοῦτο A

**Ἠ**ρίστευσε Μανουὴλ
ἐν μυριάσιν Σαβὲλ σύμμαχον
καὶ Ἰσμαὴλ κράτιστον,
μεθ᾽ ὧν νίκης τρόπαια ἔστησεν.

*Θεοτοκίον.*

**Ἐ**πλήσθη πᾶσα ἡ γῆ
τῆς τοῦ Υἱοῦ σου καὶ Θεοῦ, ἄχραντε,
ἀληθινῆς γνώσεως
καὶ δόξης ἀρρήτου καὶ χάριτος.

*Ὠιδὴ δʹ. Ἐπαρθέντα σε ἰδ(ο)ῦ(σα ἡ ἐκκλησία)*

**Λ**αμπρυνόμενος τῷ φέγγει τῆς εὐσεβείας,
τὴν ὁρατὴν εὐπρέπειαν
φαιδροτέραν, μάρτυς
Μανουήλ, παρέδειξας·
διὸ τοὺς διώκτας σου
λόγοις καὶ τῇ θέᾳ κατέπληξας.

**Σ**υμφωνίᾳ τῶν συνάθλων σου, τῶν δαιμόνων
πολυσχεδεῖς πολέμους
πλάνης ἐτροπώσω,
Μανουὴλ ἀοίδιμε,

---

**166** cf. notationem ad vv. 107-108

---

LAPbO

**163** Ἠρίστευσεν L – **164** μυριάσιν : μυριάσι σὺν APbO – σύμμαχοι O – **165** κράτιστον : σύμμαχον· κράτιστον A (et alt. man. erasit σύμμαχον) – **167** ἡ γῆ : ψυχῆ O – **169** ἀληθινὴς L

In vv. **167-170** A hoc *theotokion* tradit: Σὺ μόνη τοῖς ἐπὶ γῆς τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος… =MV X, 26; AHG II, VIII, 69-72; AHG IV, XXI, 45-48; AHG VI, XIV, 37-40; AHG VIII, XVII, 49-52; AHG IX, III, 37-40 (Georgii); AHG XI, XXI, 43-46 (Theophanis)

heirm. δʹ EE 94, nr 133, Joannis monachi - ἐπαρθέντας L

**171** εὐσεβεῖας L – **175-176** διὸ - κατέπληξας : διὸ καὶ ἐκραύγαζες· δόξα τῇ δυνάμει σου <Κύριε> A – **175** διώκτα O – **177** τῶν δαιμόνων : τῶν γενναίων APb – **179** π[λά]νης lac. O

καὶ τύραννον φρύαγμα
ἀσθενὲς τοῖς πᾶσιν ὑπέδειξας.

**Ἀ**πεμείωσαν ἡλίου καὶ τῶν ἀστέρων
τὸ σέβας οἱ γενναῖοι
μάρτυρες Κυρίου
καὶ εἰδώλων ἔσβεσαν
προσκύνησιν ἅπασαν
καὶ Χριστοῦ τὴν πίστιν ἐτράνωσαν.

**Β**έλη ἔπηξαν οἱ μάρτυρες ἐν καρδίᾳ
τοῦ κατὰ τοῦ ὑψίστου
ἀθέως μανέντος
τῆς ὁμολογίας Χριστοῦ
τὰ ἔνθεα ῥήματα
καὶ τῆς εὐσεβείας τὰ δόγματα.

---

**189-194** cf. AHG XII, IV, 204-211 (Georgii, in profestum transfigurationis et in sanctum Eusignium martyrem): *Βέλη ἐνθέων σου λόγων ἐν καρδίᾳ ἀνδρείως κατέπηξας, Εὐσίγνιε σοφέ, τοῦ δυσμενῶς παραβάντος Χριστοῦ τὴν ἀμώμητον πίστιν καὶ κατ᾽ αὐτοῦ μανέντος καὶ πιστοὺς ἀναιροῦντος τοὺς τοῦτον δεσπότην μεγαλύνοντας.* – AHG IV, XVII, 105-108 (Georgii, in octavam conceptionis et in ss. Menam, Hermogenem et Eugraphum martyres): *Ὡς βέλη τῆς ἀληθείας τοὺς λόγους ἐν καρδίᾳ τε τῶν ἀσεβούντων, ἀθλοφόρε, ἐγκατέπηξας…*; AHG IV, XXVI, 156-162 (Georgii, in s. Marinum): *Ἠκονημένα τὰ τῶν σοφῶν σου λόγων, μάρτυς Χριστοῦ, βέλη ἐν καρδίᾳ ἔπηξας τοῦ ἐχθροῦ καὶ αὐτὸν εἰς γῆν ἀπέρριψας καὶ ἐθανάτωσας καὶ βραβεῖα τῆς νίκης ἀπείληφας*; AHG IX, II, 11-13 (Georgii, in s. Athanasium Archiepiscopum Alexandriae): *Ῥημάτων σου τὰ βέλη κατέπηξας Ἀρείου ἐν καρδίᾳ γενναίως, Ἀθανάσιε…*

---

LAPbO

**181-182** καὶ - ὑπέδειξας : καὶ ψάλλων ἐκραύγαζες· δόξα τῇ δυν(άμει σου, Κύριε) A – **183-188** om. A – **184** γενναίοι L – **186** κα[ὶ] lac. O – [εἰ]δώλων lac. O – **189-194** om. Pb – **194** εὐσεβεῖας L

*Θεοτοκίον.*

195-200 **Ὠ**ραΐζεται ἐνδόξως ἡ ἐκκλησία
ἐπὶ τοῖς σοῖς, πανάχραντε,
f. 80r … τούτοις / φαιδρῶς …
……………………….. = AHG XI, XIV, 65-70 (Georgii).

*Ὠιδὴ ε΄. Σύ, Κύριέ μου, φῶς*
*εἰς τὸν κό(σμον ἐλήλυθας)*

**Ἐ**ν ὕψει τῆς Χριστοῦ,
Μανουήλ, ἐπιγνώσεως
τοῖς ὄμμασιν ἀτενίσας,
τῆς ψυχῆς τὰ παρόντα
χαμαίζηλα κατέλιπες.

**Λ**ατρεύοντες Θεῷ
τῷ ποιητῇ τῆς κτίσεως,

---

**201-202** cf. Matth 16:18

---

**206-210** cf. Latyšev II, 69:12-18: *…«Ἡμεῖς» εἶπον, «ὦ βασιλεῦ, χριστιανοὶ ὄντες καὶ κληθέντες τὸ ἀπ᾽ ἀρχῆς … οὐν ἄν ποτε τὴν πίστιν ἡμῶν ἀρνηθείημεν καὶ τοῖς ἡμῶν σεβάσμασι προστεθείημεν, οὐδὲ τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν καταλείψαιμεν, δαίμοσι δὲ πονηροῖς τὸ σέβας προσάψοιμεν…; AASS* Iunii III, 292E: *…Ἡμεῖς γὰρ ἐδιδάχθημεν … ἐπιγινώσκειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἄστρα, καὶ ἥλιον καὶ σελήνην, καὶ πᾶσαν τὴν κτίσιν, καὶ φυλάττειν τὰς ἐντολὰς αὐτοῦ ἀκλινῶς, καὶ θυσίαν αἰνέσεως αὐτῷ ἀποδιδόναι σπεύδομεν…;* MartMSI, 63-64: *…οἱ Ἅγιοι ἀνδρείως ἅμα καὶ συνετῶς ἀπεκρίναντο. ἡμεῖς, ὦ βασιλεῦ, χριστιανοὶ ὄντες καὶ κληθέντες τοαπαρχῆς … τὶ δὲ καὶ τούτου εὐηθέστερον ἄν ποτε πράξαιμεν, εἴ γε τὸν μὲν Οὐρανοῦ καὶ Γῆς Ποιητὴν καταλείψαιμεν, Δαίμοσι δὲ πονηροῖς τὸ θεῖον σέβας προσάψαιμεν…*

---

LAPbO

In vv. **195-200** A hoc theotokion tradit: Ἀπειρογάμως ἐκύησας, ὦ Παρθένε… =AHG II, VII, 91-96; AHG VI, XIV, 59-64; AHG VIII, XVII, 71-76.

heirm. ε΄ EE 94, nr 133, Joannis monachi

**201** Ἐνύψει LAPbO – **204** ψυχ[ῆ]ς lac. O – **205** ὡς οὐδὲν λελόγισαι A – χαμέζηλα L – **206** <Λ>ατρεύοντες O – **207** τῶ τὰ πάντα ποιήσαντι A – ποιητὴ L

σεβάσματα τῶν κτισμάτων,
ἀθλοφόροι Κυρίου,
ἐκ βάθρων κατεστρέψατε.

**Ἱ**δρύσαντες, σοφοί,
ἐπὶ πέτραν τῆς πίστεως
τὰς βάσεις τῆς διανοίας,
προσβολαῖς τοῦ τυράννου
οὐδόλως κατεσείσθητε.

*Θεοτοκίον.*

216-220 **Ῥ**ομφαίαν κατ᾽ ἐχθρῶν
κεκτημένοι σε, ἄχραντε,
… = AHG II, XVI, 117-121 (Georgii); AHG III, VIII, 92-96 (Georgii); AHG IV, XXII, 97-101 (Georgii).

*Ὠιδὴ στʹ. Θύσω σοι*
*μετὰ φωνῆς αἰνέσεως, Κύριε*

**Σ**τόματα
νοουμένων λεόντων ἀπέφραξας
τῇ τῶν ἐνθέων σου λόγων,
Μανουήλ, δυνάμει καὶ τῶν συνάθλων
ἐκράτυνας
τὴν ἐν λόγοις σοφίαν καὶ δύναμιν.

---

**221-222** cf. Heb 11:33 – **221-226** cf. AHG V, XXXIII (1), 229-234 (anonymis, in translationem reliquarum s. Joannis Chrysostomi): *Ἄλλος Δανιὴλ ὑπάρχων, Ἰωάννη, ἐπιθυμιῶν ἀνὴρ ἀνηγορεύθης καὶ ὡς λεόντων τὰ στόματα τῶν ἀδίκων τῇ σῇ ἐνέφραξας θερμῇ προσευχῇ.*

---

LAPbO

**211** Ἰδρύσαντες L – **215** ἀσάλευτοι ἐμείνατε A

In vv. **216-220** A hoc theotokion tradit: Σὲ ὅπλον ἀρραγὲς κατ᾽ ἐχθρῶν προβαλλόμεθα… =AHG II, III, 76-80 (Joannis monachi), 68; AHG IV, XI, 112-116 et XXI, 84-88 (Methodii); AHG VI, XIV, 80-84; AHG VIII, XVII, 97-101; AHG XI, XXI, 82-86 (Theophanis)

heirm. στʹ EE 94, nr 133, Joannis monachi

**221-226** om. A – **226** σοφί[αν] lac. O – δύναμ[ιν] lac. O

**Μ**έτριον
ἐν τοῖς θαύμασιν ἔχοντες φρόνημα,
γενναῖον ἐν τοῖς ἀγῶσι
τοῦτο καὶ μετέωρον τοῖς διώκταις,
ἀθλοφόροι,
ἐν ἀπλάστῳ ψυχῇ διεδείκνυτε.

**Ἄ**μαχον
ἐκ τοῦ Χριστοῦ τὸ κράτος δεξάμενος,
μετὰ συνάθλων γενναίων,
Μανουήλ, καθεῖλες ὑπερηφάνων
φρονήματα
κατὰ τοῦ Θεοῦ ἐπαιρόμενα.

*Θεοτοκίον.*

239-244 **Γ**νόντες σου
τὰ ὑπὲρ λόγον θεῖα μυστήρια
………………………………… = AHG XI, XIV (Georgii).

---

**233-234** cf. *AASS* Iunii III, 294F: …*Ὁ δὲ ἅγιος Μάρτυς ἀποκριθεὶς εἶπεν αὐτῷ· … ἡμεῖς γὰρ μάλιστα, … ἔχοντες τὸν ἅγιον καὶ τίμιον σταυρὸν προηγούμενον ἡμῶν ἕως τέλους, καὶ τὸν κύριον Ἰησοῦν Χριστὸν κουφίζοντα ἡμᾶς ἐκ τῶν ὀδυνῶν…*

---

LAPbO

**230** τοῦ τῶν Pb – **232** ἐναπλάστω ψυχὴ διεδείκτυτε L : ἐν ἀπλέτω ψυχῇ ἀπεδείκνυσθε A : ἐναπλάστω ψυχὴ ἐδεικνύετε Pb : ἐναπλάστω ψυχῇ (p.c. ex ψυχή) διεδείκρυτε O – **234** Χριστοῦ : θ(εο)ῦ O – **238** κατὰ τοῦ Θεοῦ : κατ᾽ αὐτοῦ τοῦ θ(εο)ῦ A : καταυτοῦ τοῦ θ(εο)ῦ Pb : τὰ κατὰ τοῦ θ(εο)ῦ O

In vv. **239-244** A hoc theotokion tradit: Ὢ θαῦμα τῶν ἁπάντων θαυμάτων καινότερον … = AHG IV, XI, 135-140 et XXI, 107-112 (Methodii); AHG VI, XIV, 103-108; AHG VII, XXXVI, 210-215 (Josephis); AHG VIII, XVII, 120-125; AHG XI, XXI, 105-110 (Theophanis)

*Ὠιδὴ ζ΄. Ἐν τῇ καμίνῳ*
*Ἀβραμιαῖοι παῖδες (τῇ περσικῇ)*

**Ἡ** ὡραιότης
τοῦ σοῦ προσώπου, μάρτυς, ἡ ὁρατὴ
κάλλος νοητὸν ἐδήλου τὸ τῆς ψυχῆς,
Μανουὴλ ἀξιοθαύμαστε,
f. 80v / τῆς σῆς, ἐξ ἧς ἀεὶ
ἀρετῶν ἀκτῖνες ἐπέλαμπον.

**Λ**όγοις ἐνθέοις
τὸν σοφιστὴν τοῦ ψεύδους οἱ ἀθληταὶ
θείᾳ συνεργείᾳ ἤλεγξαν τοῦ Χριστοῦ
καὶ ἀλόγιστον ἀπέδειξαν
καὶ ἀληθέστατον
τὸ τῆς πίστεως κήρυγμα ἔδειξαν.

**Σ**τῦλοι δειχθέντες
καὶ ἀρραγεῖς κρηπῖδες τῆς τοῦ Χριστοῦ
θείας, ἀθλοφόροι, πίστεως, Μανουὴλ
σὺν Σαβὲλ καὶ Ἰσμαήλ, αὐτὴν
ἔργοις ἀθλήσεως
καὶ τοῖς λόγοις αὐτὴν ἐνιδρύσατε.

---

**245-246** cf. *AASS* Iunii III, 291B: *…Μανουήλ, Σαβέλ καὶ Ἰσμαήλ, οἱ* [sic] *ἦσαν ὡραῖοι μὲν τῷ κάλλει, νέοι δὲ τὴν ἡλικίαν…* – **251-256** cf. *AASS* Iunii III, 292D-294F

---

LAPbO

heirm. ζ΄ EE 94, nr 133, Joannis monachi

**246** ὀρατὴ L – **247** κάλους νοητοῦ O – τοῦ O – **249** ἕξης L – **249-250** εὐλογημένος εἶ ἐν τ(ῷ ναῷ τῆς δόξης σου, Κύριε) A – **250** ἀκτίνες L : αἰ ακτίνες O – **253** θεῖα L – συνεργεῖα L : συμμαχία Pb – **254-256** καὶ ἑν πίστει ἀνεκραύγαζον· εὐλογημένος εἶ εν τ(ῷ ναῷ τῆς δόξης σου, Κύριε) A – **257** Στύλοι LAPbO – **258** κρηπίδες L – **259** θεῖας L – **260** συν L – ἱσμαὴλ L – **262** τῇ ἐκκλησία ἑνδιαπρέποντες A – ἀνιδρύσατε Pb : ἐνυδρύσατ[ε] lac. O

*Θεοτοκίον.*

263-268 **Ἰ**σχὺν καὶ κράτος
σὲ ἀσθενοῦσι πᾶσιν ὁ δυνατὸς
……………………… = AHG XI, XIV, 146-152 (Georgii).

*Ὠιδὴ η′. Χεῖρας ἐκπετάσας Δα(νιὴλ)*

**Ἔ**νδον τὴν ἀγάπην τοῦ Χριστοῦ
εἰσοικισάμενος,
Μανουὴλ ἔνδοξε,
πλοῦτον ἀσύλητον, ἄφθαρτον
ταύτην μόνην ἐθησαύρισας·
διὸ παρεῖδες τὰ ἐκτὸς
πάντα καὶ ἔμελπες·
«εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον».

**Β**άσιν ὑποθέντες τὴν Χριστοῦ
πίστιν οἱ ἅγιοι,
ἐπῳκοδόμησαν
τὰ τῆς ἀθλήσεως ἄσειστα
καὶ γενναῖα ἀγωνίσματα,
ἐν ταύτῃ κράζοντες ἀεὶ
τῷ δυναμοῦντι Χριστῷ·

---

**272-273** cf. Matth 6:19-20 – **276-277** EE 94, nr. 133, vv. 45-46 [cf. Dan 3:57]

---

LAPbO

In vv. **263-268** A hoc theotokion tradit: Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα… =AHG II, VIII, 159-164; AHG IV, XI, 171-176 et XXI, 134-140 (Methodii); AHG VI, XIV, 130-136; AHG VIII, XVII, 147-153; AHG IX, V, 142-148 (Theophanis)

heirm. η′ EE 94, nr 133, Joannis monachi

**269** τῇ ἀγάπῃ O – **271** μαννουὴλ ὁ ἔνδοξος O – **273** ἐθησαῦρισεν O – **274-275** καὶ ἐμελῴδεις τῶ χ(ριστ)ῶ· ἐν καθαρῶ λογισμῶ A – **274** παρίδες L : παρίδεν O – ἐκτὸς : ἐκσοῦ O – **275** ἔμελπεν O – **276-277** εὐ(λ)ο(γεῖτε – Κύριον) L : εὐλογεῖτε πάντ(α - Κύριον) A : εὐλογεῖτε πάν(τα - Κύριον) Pb : εὐλογεῖτε (πάντα - Κύριον) O – **278** Βάσιν : Πάσιν Pb : Πᾶσαν O – τὴν : τοῦ O – **283** κραυγάζοντες O – **284** τῶ ἐπὶ πάντων θ(ε)ῶ A

«εὐλογεῖτε
*πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον»*.

**Ὥ**πλισεν Χριστός σε, Μανουήλ,
δυνάμει κρείττονι
καὶ θείᾳ χάριτι
σὺν τοῖς συνάθλοις σου, ἔνδοξε,
μεθ᾽ ὧν ἔστησας τὰ τρόπαια
κατὰ τῆς πλάνης, ἐκβοῶν
στεφανηφόρος ἀεί·
«εὐλογεῖτε
*πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον»*.

*Θεοτοκίον*.

296-304 **Ὁ** ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς
ἐκ σοῦ, πανάχραντε …
… = AHG III, VIII, 187-195 (Georgii); AHG IV, XXII, 199-206 (Georgii).

---

**285-286, 294-295** EE 94, nr. 133, vv. 45-46 [cf. Dan 3:57]

---

**287-290** cf. notationem ad vv. 233-234 et *AASS* Iunii III, 294E: *…Οἱ δὲ ἅγιοι* [Manuel et Savel] *ἀποκριθέντες λέγουσιν αὐτῷ* [imperatori Juliani]*· Ἡμεῖς ἀεὶ ὁρῶμεν τὴν δύναμιν τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραγενομένου ἐφ᾽ ἡμᾶς, καὶ κουφίζοντος ἐκ τῶν ἀνημεῶν σου τιμωριῶν…*; Latyšev II, 71:13-15: *…«Οὐδὲν ἡμῖν καὶ τοῖς σοῖς θεοῖς», οἱ ἅγιοι μέγα ἐβόησαν, «τύραννε· ἔχομεν γὰρ βοηθὸν τὸν σωτῆρα Χριστόν· ἐπεὶ πῶς ἂν πρὸς τοσαύτας βασάνους ἐξηρκήσαμεν»;…*; MartMSI, 72: *…οἱ μακάριοι … οὐδὲν ἡμῖν καὶ τοῖς σοῖς θεοῖς, μέγα αὖθις ἀνεβόησαν, κακοδαιμονέστατε! ἔχομεν τὸν ἡμέτερον Σωτῆρα καὶ Κύριον, ὃν βοηθὸν ἐν πᾶσι καὶ ὁμολογοῦμεν καὶ οἴδαμεν…*

---

LAPbO

**285-286** εὐ(λ)ο(γεῖτε – Κύριον) L : ευ(λ)ο(γει)τε (*πάντα – Κύριον*) A : (εὐλογεῖτε – Κύριον) Pb : εὐλογεῖτε *πάντα* (τὰ - Κύριον) O – **287** Ὥπλισεν L – χ(ριστὸ)ς σὲ L – **289** θεῖα L – **290** συν L – σὺν τοῖς om. Pb – **294-295** εὐ(λ)ο(γεῖτε – Κύριον) L : ευ(λ)ο(γει)τε *πάντ*(*α* - Κύριον) A : εὐ(λ)ο(γεῖ)τ(ε – Κύριον) Pb, εὐλογεῖτε (*πάντα* - Κύριον) O

In vv. **296-304** A hoc theotokion tradit: Σὺ μόνη ἐν πάσαις γενεαῖς, παρθένε ἄχραντε… =AHG II, VIII, 192-200; AHG IV, XI, 204-212 et XXI, 168-176 (Methodii); AHG VI, XIV, 164-172; AHG VIII, XVII, 181-189; AHG XI, XXI, 166-174 (Theophanis)

*Ὠιδὴ θʹ. Λίθος ἀχειρότμητ(ος ὄρους)*

**Π**ρόμαχος ἀήττητος, μάρτυς,
τῶν συναθλούντων δεδειγμένος
τούτων, Μανουήλ, συνεργείᾳ
τὸν ἀποστάτην ἐχθρὸν κατέβαλες,
κατὰ Χριστοῦ μαινόμενον,
f. 81r ὃν καρ/τερίᾳ ἐθανάτωσας.

**Ο**ἱ τῆς ἀληθείας ὁπλῖται
καὶ τῆς ἀπάτης καθαιρέται,
Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ,
γενναίοις ἄθλοις ἐθαυμαστώθησαν·
διὸ ταμεῖα ὤφθησαν
θείων χαρίτων τῶν τοῦ πνεύματος.

**Θ**ήραν ὑπεκδύντες τῆς πλάνης
καὶ τὰς παγίδας τοῦ τυράννου,
ταῦτα συνετρίψατε κράτει
δυναμωθέντες Χριστοῦ, ἀήττητοι·
διὸ ῥυσθέντες ἄτρωτοι
ἐν οὐρανοῖς, σοφοί, χορεύετε.

<*Δεσποτικόν.*>

**Ὡ**ς τῶν ἀθλοφόρων ὑπάρχων
στέφος δόξης, εὐεργέτα,

---

**319-320** cf. notationem ad vv. 287-290

---

**308** cf. AHG X, IX, 314 (in ss. mm. Manuelem, Savelem et Ismaelem): *Ἰουλιανὸν τὸν λυσσώδη καὶ ἀποστάτην…*

---

LAPbO

heirm. θʹ EE 94, nr 133, Joannis monachi

**306** δεδεγμένος O – **307** τοῦτον L – συνεργεῖα L : συνεργάτα A – **310** ὃν L – ἐθανάτωσαν O – **311** ἀληθεῖας L – **312** ἀπάτης : ἀπαθίας O – **316** χαρίτων : ναμάτων A – **317** Θῆραν L – **319** ταύτας PbO : πάσας A – **320** δυναμωθέντας Pb – **324** στέφανος Pb – εὐεργέτα : ὦ χ(ριστ)έ μου A

καὶ χαρὰ ἁπάντων ἁγίων
καὶ εὐφροσύνη καὶ ἀγαλλίαμα,
τῆς σὲ τεκούσης, Κύριε,
ἡμᾶς πρεσβείαις διαφύλαξον.

*Θεοτοκίον.*

**Ὑ**πὲρ τῶν εἰς σὲ πεποιθότων,
θεοχαρίτωτε κυρία,
ἄγρυπνον ποιοῦσα πρεσβείαν,
ἡμᾶς συντήρει καὶ περιφύλαττε,
τὸν σὸν Υἱὸν δοξάζοντας
καὶ σὲ προστάτιν μεγαλύνοντας.

*Ἕτερος κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ θαυματουργὸν Ὑπάτιον φέρων ἀκροστιχίδα τήνδε· Ὑπατίου μέλψοιμι τοὺς καλοὺς τρόπους: ὁ Ἰωσήφ.*

*Ἰωσήφ.*

*Ὠιδὴ α′. Ἦχος πλ. δ′. Ὑγρὰν διοδεύσας ὡσεὶ ξη(ρὰν)*

**Ὑ**πάρχων, Ὑπάτιε, σὺν Θεῷ
καὶ ταῖς φανοτάταις
ἐλλαμπόμενος ἀστραπαῖς,
καταύγασον πίστει τοὺς τελοῦντας
τὴν φωτοφόρον σου ταύτην πανήγυριν.

---

LAPbO (vv. 327-334) — LSHIa (vv. 335-339)

**325** post χαρὰ add. δόξα O – **328** πρεσβεῖαις L – διὰφύλαξ[ον] lac. O : πάντας φύλαξον A : ταύτης φύλαξον Pb – **329-334** om. A – **331** πρεσβεῖαν L – **333** δοξάζοντες Pb – **334** προστάτην L – μεγαλύνοντας : καταγγέλοντας Pb

**Tit. kan**. Ἕτερος – τήνδε : Τῇ αὐτῇ ἡμέρα τοῦ ὁσίου καὶ θαυματουργοῦ ὑπατίου : ὁ κανὼν φέρων ἀκροστιχ(ίδα) τήνδε S : ὁ κα(νὼν) οὗ ἡ ἀκρο(στιχίς) H : ἕτ(ε)ρ(ος) κανῶν τοῦ ὁσίου :· ὧ ἡ ἀκροστ(ι)χ(ίς) Ia – οσ(ιον) L – ὁ Ἰωσήφ om. HIa : ἰωσήφ LS – Ἰωσήφ[2] in marg. LSH : deest Ia

Incipit kanonis ed. in EfstrTam 50 (1951) 335 (ex cod. S)

heirm. α′ EE 220, nr 315, Joannis monachi Damasceni

**336** τοῖς Ia – **337** ἐλαμπόμεν Ia – **339** ταύτην om. Ia

**Π**υρὶ θείου πόθου ἀναφλεχθείς,
κατέφλεξας ὕλην
ἁμαρτίας, πάτερ σοφέ,
καὶ ὄρθρος ἐφάνης εὐσχημόνως
περιπατῶν καὶ φωτίζων τὰ πέρατα.

**Ἁ**γίων τοὺς βίους ἰχνηλατῶν,
ψυχὴν καὶ καρδίαν
ἡγιάσθης καὶ τοῦ Θεοῦ
ἁγίασμα ὤφθης καὶ ἀκτίνων
χωρητικός, θεοφόρε, τοῦ Πνεύματος.

*Θεοτοκίον.*

**Τ**εκοῦσα τὸν φύσει δημιουργόν,
ἐκαίνισας νόμους
τοὺς τῆς φύσεως ἀληθῶς·
διό σε κυρίως θεοτόκον
f. 81v ὁ/μολογοῦμεν, παρθένε πανύμνητε.

---

**345** cf. VH, 198 (et *AASS* Iunii III, 329A): *Ἀνεγίνωσκέν τε ὁ ἅγιος Ὑπάτιος ἡσύχως· ἦν γὰρ πόθον ἔχων εἰς τὰς θείας γραφάς, καὶ σπουδαίως ἐφιλοκάλει, εἴ που εὗρεν βιβλίον ἐνδιάθετον τῶν ἠθῶν τὴν κατάστασιν ἔχον…*

---

LSHIa

**340** θεῖου L – πόθου : φόβου L – ἀναλεχθεῖς S – **344** τὰ πέρατα : τὰς ψυχάς ἡμῶν Ia – **348-349** θεράπων ἐδείχθης καὶ δοχείον· τοῦ παναγίου ἀοίδιμε πν(εύματο)ς Ia – **354** ὑμνολογοῦμεν S – πανύμνητε : θεόνυμφε Ia

*Ὠιδὴ β΄. Ἴδ(ετε), ἴδ(ετε)*
*ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν*
*ὁ πρὸ αἰώνων γεννηθεὶς ἄνευ μητρὸς*
*καὶ ἐκ τῆς παρθένου ἐπ᾽ ἐσχάτ(ων*
*δίχα … φιλάνθρωπος).*

**Ἴ**δετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ ἐξανατείλας ὡς ἀστέρα φαεινὸν
τῷ τῆς ἐκκλησίας ἀπλανεῖ στερεώματι
Ὑπάτιον δαδουχοῦντα
φρυκτωρίαις ἀρετῶν
καὶ ἰαμάτων τὴν γῆν.

**Ὅ**λην τὴν ἔφεσιν
τῷ παντοκράτορι ἐκ νεότητος,
πάτερ, ἀνατείνας, ἠκολούθησας αὐτῷ,
φέρων σου ἐπ᾽ ὤμων
τὸν σταυρὸν καὶ ταῖς θλίψεσι
καὶ πάσαις στενοχωρίαις
ἐκκαθαίρων τὴν ψυχὴν
καὶ πλατυνόμενος.

**Ὕ**πνον ἀπέρριψας
θανάτου γείτονα ἐκ βλεφάρων σου

---

**365-366** cf. Matth 16:24; Marc 8:34

---

**355-361** cf. infra, notationem ad vv. 416-419 – **362-363** cf. VH, 74 (et *AASS* Iunii III, 310F): *…αὐτός τε ἦν φυσικῶς ἐκ παιδόθεν ἡγιασμένος, ἐν φόβῳ Θεοῦ καλῶς ἀνατραφεὶς…* – **370-371** cf. notationem ad v. 105, et VH, 282 (et *AASS* Iunii III, 345C): *…Ἤδη γὰρ ἑξηκοστὸν ἔτος ἔχω ἐν τῷ μονήρει βίῳ· οὔτε ὕπνου ἐκορέσθην οὔτε ἄρτου οὔτε ὕδατος, ἵνα δυνηθῶ γνήσιος καὶ πιστὸς δοῦλος γενέσθαι…*

---

LSHIa

heirm. β΄ EE 226, nr 323, Germani patriarchae - ἐγὼ εἰμὶ L – προ τῶν αἰώνων L – ἐπαισχάτ(ων) L – **355-383** om. Ia – **355** Ἴδ(ετε), ἴδ(ετε) LS – **356** ἐγώ εἰμὶ L – **357** ἐξανατεῖλας L – **358** ἐκκλησίας : ἐγκρατείας S – **361** τὴν γῆν : πηγήν H – **365** ἐπώμων LS – **371** γείτονα : χειτῶνα L

καὶ ἐγρηγορότως καὶ νηφόντως ταῖς εὐχαῖς
καὶ ταῖς θεωρίαις
ἐντρυφήσας, Ὑπάτιε,
ἀγγέλοις ἐξωμοιώθης,
πρὸς τὸ πρῶτον ἀγαθὸν ἀνατεινόμενος.

*Θεοτοκίον.*

**Μ**όνην εὑράμενος
καθαρωτέραν σε πάσης κτίσεως
ὁ δημιουργήσας οὐρανόν τε καὶ τὴν γῆν,
ᾤκησε τὴν μήτραν σου,
παρθένον τηρήσας σε,
πανάχραντε, μετὰ τόκον·
διὰ τοῦτό σε πιστοὶ μακαρίζομεν.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος,*
*ὀροφουργὲ Κύριε*

**Ἐ**γκρατείᾳ συντόνῳ
τὸ τῆς σαρκὸς φρόνημα

---

**375** cf. notationem ad vv. 122-123 – **381-382** cf. ConEph 1.1.1, p. 104 – **384-393** cf. notationem ad vv. 124-125

---

LSHIa

**372** νιφόντως L – **377** εὐράμενος L : εὑρόμενος H – **379** οὐ(ρα)νὸν τε L – **380** ὤκησεν L – **383** τοῦτο σὲ L

heirm. γ΄ EE 220, nr 315, Joannis monachi Damasceni

**384** Ἐγκρατεῖα L

καὶ τὰς πυριφλέκτους καμίνους
ταύτης ἐμάρανας
καὶ καθυπέταξας
τῇ ἐν Θεῷ πεποιθήσει
ψυχικαῖς δυνάμεσι,
πάτερ Ὑπάτιε.

**Λ**αμπροτάτου σου βίου
ἡ λαμπηδὼν φαίνουσα,
εἵλκυσε πολλοὺς ἀφεμένους
βίου σκοτόμαιναν·
φῶς γάρ σε ἔθετο
ὁ φωτοδότης εἰς φαῦσιν
τῶν προσερχομένων σοι,
πάτερ Ὑπάτιε.

**Ψ**υχικάς σου δυνάμεις
στερεωθεὶς χάριτι,
τοὺς δαιμονικῇ παρειμένους,
πάτερ, δεινότητι

---

**392-395** cf. VH, 224 (et *AASS* Iunii III, 334D): *Πόσοι δὲ καὶ ἄλλοι ἰδόντες τὸν Ὑπάτιον πόθον ἔλαβον τοῦ βαπτισθῆναι ὑπὸ τῶν χειρῶν αὐτοῦ; Πόσους δὲ καὶ ἀπὸ αἱρέσεων καὶ ἀπὸ ἐθνῶν ἐπέστρεψεν, καὶ μοναχοὶ πολλοὶ ἐξ αὐτῶν ἐγίνοντο καταφρονοῦντες τοῦ κόσμου;* – **396-398** cf. infra, notationem ad vv. 416-419 – **400-404** cf. VH, 142: *…Τοσαύτην γὰρ χάριν ἔλαβεν ἰαμάτων παρὰ Θεοῦ, ὡς καὶ τοὺς δεινοτάτους δαίμονας διὰ τῆς εὐχῆς καὶ τῆς σφραγίδος τοῦ Χριστοῦ ἀπελαύνειν…;* cf. VH, 196 (et *AASS* Iunii III, 328E): *…τοὺς γὰρ δεινῶς δαιμονιῶντας ἐπερχομένους εἰς τὸ πλῆξαί τινας ἐνέδυεν αὐτοὺς τὸν σάκκον καὶ αὐτοὶ μὲν τινὶ οὐκ ἐπήρχοντο, ἀλλ᾽ ἐδαμάζοντο παραμένοντες τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· ὁ Θεὸς γὰρ αὐτοὺς διὰ τῆς πρεσβείας τοῦ ἁγίου ἰᾶτο.*

---

LSHIa

**386** καμίνους : φαρέτρας Ia – **388** καθ᾽ὑπέταξας L – **389** ἐν Θεῷ : ἐνθέῳ H – **392** Λαμπροτάτω H : Λαμπροτάτο Ia – βίω H – **394** εἵλκυσεν L – **395** σκοτόμηναν S – **402** δαιμονικὴ L : δαιμονικῆς Ia

f. 82r πάλαι / ὑγίωσας·
πρὸς τοῦ σωτῆρος γὰρ χάριν
ἰαμάτων εἴληφας,
πάτερ Ὑπάτιε.

*Θεοτοκίον.*

**Ο**ὐ κενώσας τοὺς κόλπους
τοὺς πατρικούς, ᾤκησεν
τὴν ἡγιασμένην σου μήτραν
ὁ μόνος ἅγιος,
κόρη πανάμωμε,
καὶ ἐν δυσὶ ταῖς οὐσίαις
βρέφος ἀποτίκτεται
ὁ ὑπερτέλειος.

*Ὠιδὴ δʹ. Εἰσακήκοα Κύριε*
*τῆς οἰκο(νομίας σου τὸ μυστήριον)*

Ἱερᾷ προσκαλεῖταί σε
ἄνωθεν ὁ Κύριος φωνῇ, ὅσιε,

---

**405-406** cf. VH, 106: *…ἔγνωμεν ὅτι χάριν ἰαμάτων ἔδωκεν αὐτῷ ὁ Θεός…*; cf. *AASS* Iunii III, 319B): *…ὁ Κύριος … τῷ Ὑπατίῳ χάριν ἐδωρήσατο ἰαμάτων…* – **416-419** cf. VH, 108 (et *AASS* Iunii, III, 318D): *Ὡς οὖν ὥδευον, ἔν τινι τόπῳ τὴν εὐχὴν ἐποίουν τῆς τρίτης ὥρας. Εὐχομένων οὖν αὐτῶν ἤκουσαν φωνὴν ἐκ τοῦ ἀέρος λέγουσαν· «Ὑπάτιε ὕπαγε εἰς Ῥουφινιανάς, τέθεικα γάρ σε εἰς φῶς ἐθνῶν ἕως ἐσχάτου τῆς γῆς».* Cf. VH, 178 (et *AASS* Iunii III, 325A): *…τοῦτό ἐστιν ὃ ἐλάλησεν αὐτῷ ὁ Θεὸς διὰ τῆς φωνῆς τῆς ἐνεχθείσης αὐτῷ διὰ τοῦ ἀέρος, ὅτι «Τέθεικά σε εἰς φῶς ἐθνῶν ἕως ἐσχάτου τῆς γῆς»…* [cf. Act 9:1-7]

---

LSHIa

**405** πρὸς τοῦ π(ατ)ρ(ὸ)ς γὰρ τὴν χάριν H – **408** κενώσαι Ia – **410** ἀγιὰμένην Ia – **411** μόνος ὁ ἅγιος H

heirm. δʹ EE 225, nr 322, Cosmae monachi

**416** Ἱερὰ L – προσκαλεῖται σε L : προσκλεῖται Ia – **417** φωνῆ ὁ κ(ύριο)ς Ia – φωνὴ L

Παῦλον ὥσπερ τὸν μακάριον
φῶς ἐθνῶν, παμμάκαρ, ὀνομάζων σε.

**Μ**ειλιχίῳ φρονήματι
πᾶσιν Ἀβραὰμ ἄλλος ὡς φιλόξενος
ὑπανοίγων τὰς εἰσόδους σου,
τὸν δεσπότην, πάτερ, ἐθεράπευσας.

**Ἱ**ερεὺς ἐχρηματίσας,
θύων τὸν τυθέντα κόσμου εἰς λύτρωσιν,
ἑαυτὸν δὲ δι᾽ ἀσκήσεως
καθαρὰν θυσίαν προσενήνοχας.

**Τ**ῷ Θεῷ προσκολλώμενος
θείων μυστηρίων ἔγνως φανέρωσιν·
τὴν καρδίαν γὰρ ὡς ἔσοπτρον
καθαρῶν ἀκτίνων, πάτερ, ἔσχηκας.

---

**420-423** cf. VH, 132-134 (et *AASS* Iunii III, 322F): *…Ὁ δὲ ἅγιος λυπηθεὶς ὡς πατὴρ διὰ τὰ ἴδια τέκνα νηστεύων καὶ εὐχόμενος παρεκάλει τὸν δεσπότην Χριστόν, ὅπως δώσῃ αὐτοῖς ὕδωρ ἢ τοὺς ἐπιβούλους παύσῃ. Καὶ μετὰ τρίτην ἡμέραν ὁρᾷ τρεῖς ἄνδρας ἐν ἐσθῆτι λαμπρᾷ …* [cf. Gen 18:1-8] – **424-427** cf. VH, 122 (et *AASS* Iunii III, 320F): *…ἦν γὰρ χειροτονηθεὶς ἐν τῷ ἁγίῳ ἀποστολείῳ πρεσβύτερος, τοῦ μακαρίου Φιλοθέου τοῦ ἐπισκόπου μετὰ βίας αὐτὸν χειροτονήσαντος. Λειτουργοῦντος δὲ αὐτοῦ ἐν τῇ θείᾳ προσενέξει τοσοῦτον στενάζων ἀνεβόα πρὸς τὸν Θεόν, ὡς τοὺς ἀκούοντας κατανύσσεσθαι τοῖς δάκρυσιν…* – **429** cf. VH, 122 (et *AASS* Iunii III, 320F): *…Πολλάκις γὰρ ἐγκλειομένου αὐτοῦ ἀπεκαλύπτετο αὐτῷ πολλὰ μυστήρια, ἅπερ οὐκ ἐβούλετο λέγειν…*

---

LSHIa

**419** ὀνομάζων L – **420** Μειληχίω L : Μειλιχίω SHIa – **421** ἀβραὰμ L – ἄλλος ὡς : ὡς ἄλλος S : ὡς πάλε Ia – **423** ἐθεράπευες S – **424** Ἱερεύς L – **425** κόσμον Ia – **426** σεαυτὸν δὲ H : ἑαυτόν τε Ia – διασκήσεως L – **429** θεῖων L – **431** καθαρὰν H

*Θεοτοκίον.*

**Ὁ** παλάμῃ τὰ σύμπαντα
θείᾳ περιέχων χερσὶ κρατούμενος,
σοῦ, παρθένε, περιγράφεται
ὁ τῇ θείᾳ φύσει ἀπερίγραπτος.

*Ὠιδὴ ε΄. Ἱνατί με ἀπώσω*

**Ὑ**φαντὸν ἐκ τῆς ἄνω
χάριτος ἱμάτιον περιβαλλόμενος,
τῶν παθῶν τὸν σάκκον
δι᾽ ἀσκήσεως, πάτερ, διέρρηξας
καὶ πολλοῖς ἐγένου
καταστολὴ ἀθανασίας,
θεοφόρε παμμάκαρ Ὑπάτιε.

---

**436-437** cf. AHG II, II, 147-148 (Josephis in ss. Florentium et Diocletianum): *Ὑφαντὸν ἐκ τῆς ἄνωθεν χάριτος ἱμάτιον ὑμεῖς περιεβάλλεσθε…*; cf. AHG IV, LII, 107-110 (Josephis, in s. Stephanum): *Ὑφαντὸν ἐκ τῆς ἄνωθεν χάριτος, Στέφανε, ἱμάτιον περιβαλόμενος τοῦ διαβόλου ἅπασαν τὴν κακίαν εἰς τέλος ἐγύμνωσας*; cf. Joannis Chrysostomi, *In epistulam i ad Timotheum*, PG 62,513: *Κτῆσαι ἱμάτιον, εἰ βούλει, τὸ ἐκ τῶν ἄνωθεν ὑφαντὸν, τὴν περιβολὴν τὴν θαυμασίαν καὶ λαμπρὰν, τὸν ἱματισμὸν τὸν διάχρυσον ὄντως. Ἐκεῖνος ὁ χρυσὸς οὐκ ἀπὸ μετάλλων ἐστὶν, ἃ καταδίκων χεῖρες ὤρυξαν, ἀλλ᾽ ἀπὸ ἀρετῆς τίκτεται.*

---

**432-433** cf. *Symeon Neos Theologos, Hymnen* (ed. A. Kambylis, *Supplementa Byzantina* 3. Berlin - New York: De Gruyter, 1976], hymn 38: *…ὁποίας δὲ καὶ ποταπῆς ἔνδον οἰκίας εὕρω τὸν ἐν χειρὶ τὰ σύμπαντα καὶ παλάμῃ κρατοῦντα;…* – **438** cf. notationem ad v. 102; cf. AHG V, I, 64-68 (Josephis, in s. Basilium): *Στολήν με ἔνδυσον ἀπολυτρώσεως, τῶν παθῶν μου τὸν σάκκον ῥῆξον ταῖς σαῖς προσευχαῖς, Βασίλειε…*

---

LSHIa
**433** θεῖα L – **435** θεῖα L
heirm. ε′ EE 219, nr 314, Joannis monachi
**439** διασκήσεως L

**Σ**υντηρεῖ διαρκῆ σοι,
πάτερ, διὰ βίου παντὸς τὰ ἀγώγιμα
ὁ δοτὴρ τῶν ὅλων
καὶ χειρί σου παρέχει ἰάματα
τοῖς νοσοῦσι, μάκαρ,
καὶ φυγαδεύει πᾶσαν λώβην
πονηρὰν τῶν δαιμόνων, Ὑπάτιε.

**Κ**υβερνήτης ἐγένου
τῶν μοναδικῶς
f. 82v συνοικούντων / σοι, ὅσιε,
κατευνάζων τούτοις
τὸ δεινὸν τῶν δαιμόνων κλυδώνιον
καὶ διδοὺς ὁδεύειν
πρὸς ἀπαθείας τοὺς λιμένας
καὶ κατάπαυσιν θείου θελήματος.

*Θεοτοκίον.*

**Ἀ**πειρόγαμε κόρη,
μόνη γενεῶν ἐκ πασῶν ἐπιλέλεξαι
αἰδίου λόγου
εἰς κατοίκησιν καὶ κεχαρίτωσαι

---

**443-445** cf. VH, 204-206 (et *AASS* Iunii III, 330D): *…Ποτὲ γὰρ ἔμελλε λιμὸς γίνεσθαι καὶ ἑώρακεν ἑαυτὸν δίδοντα ἐν τῇ νυκτὶ τοῖς πένησιν ἄρτους καὶ τὸν ἄγγελον τοῦ Θεοῦ τὸν πάντοτε συμπαρόντα αὐτῷ λέγοντα αὐτῷ· «Τήρησον, ἀββᾶ, λιμὸς γὰρ ἔχει γενέσθαι, καὶ ἵνα τότε αὐτοῖς δώσῃς.» Καὶ εὐθὺς τῇ ἐπαύριον παρακαλέσας φίλους καὶ δανεισάμενος ἀποτίθεται ὄσπριον καὶ σῖτον εὐώνως· καὶ εἴσω δέκα* (*δεκὰ* VH) *ἡμερῶν σπανία ἐγένετο, ὡς μὴ εὑρίσκειν μὴ δὲ τὸ ἥμισυ τῶν ὠνίων καθὼς τότε ἐδίδοτο· καὶ ἐπεκράτησεν ὁ λιμὸς ἔτη τρία. Πᾶσα οὖν ἡ ἀγροικία λιμώττουσα πρὸς τὸν Θεὸν καὶ πρὸς αὐτὸν ἀπεκέμαντο μάλιστα ἐν τοῖς χειμῶσιν…* – **446-447** cf. cf. notationem ad vv. 405-406 – **448-449** cf. notationem ad vv. 400-404 – **457** cf. VH, 204 (et *AASS* Iunii III, 329C): *…Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Κυρίου ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν…*

---

LSHIa

**443** διαρκεῖ σοι S : διασκοῦσι Ia – **444** ἀγώγημα L – **447** μάκαρ : πάσιν Ia – **449** τῶν δαιμόνων πονηρὰν H – **452** συνοικοῦντων L – **453** καταυγάζων S – **455-456** om. Ia – **456** ἀπαθεῖας L – **457** θεῖου L – **459** ἐκ πασῶν γενεῶν S – **460** ἀϊδίου L

ὑπὲρ πάσας πλέον
ἐν γυναιξίν, εὐλογημένη,
τὸν τῶν ὅλων δεσπότην κυήσασα.

*Ὠιδὴ στʹ. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

**Λ**αμπρύνων θαυματουργίαις Χριστός σε,
ὕδωρ ζῶν ἀναπηγάζει σοι, πάτερ,
καὶ εὐλογεῖ, θεοφόρε, τὸν σῖτον
εἰς διαρκῆ δεομένων ἐπίδοσιν,
Ὑπάτιε, τῶν μοναστῶν
χαρακτὴρ καὶ κανὼν ἀκριβέστατε.

**Ο**ὐκ ἔσεισεν τῆς ψυχῆς σου τὸν πύργον
ἐστηριγμένον νοητὴν ἐπὶ πέτραν
ὁ δυσμενής, ἀλλὰ μᾶλλον ἐγένου
σαλευομένων, Ὑπάτιε, στήριγμα
καὶ ἴαμα καὶ φωτισμὸς
καὶ λιμὴν καὶ τῶν πόνων ἀνάψυξις.

---

**462-463** cf. Luc 1:42

---

**467-468** cf. VH, 134 (et *AASS* Iunii III, 323A): …*Ἄλλοτε πάλιν τὸ γέννημα τοῦ σίτου ἐβρώθη ὑπὸ σκωλήκων δεινῶς, ὃ εἶχον οἱ ἀδελφοί. Γνοὺς δὲ ὁ Ὑπάτιος ὅτι ἤδη μέλλει ἀπόλλυσθαι καὶ τί ποιῆσαι οὐκ ἦν, γεμίσας σάκκους λέγει· «Ρογεύσωμεν αὐτὸ εἰς τὰς στράτας τοῖς πτωχοῖς, ἵνα μὴ φάγῃ αὐτὸ ὁ σατανᾶς.» Ὡς οὖν ἀπῆλθεν καὶ ἐδίδου τοῖς πτωχοῖς, καὶ τὸ γέννημα ὁ Κύριος ἐπλήθυνεν αὐτομάτως ἄνευ ἀνθρωπίνης χωρηγίας καὶ ὁ σκώληξ ἔτι ἐν αὐτῷ οὐκ ἐφάνη, ἀλλ᾿ ἦν καθαρὸν λίαν.* – **472** cf. VH, 180 (et *AASS* Iunii III, 325A-B): …*—ὁ γὰρ ποιῶν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ φυλάττων καὶ ταπεινῶν ἑαυτὸν— τεθεμελίωται ἐπὶ τὴν πέτραν· «ἡ δὲ πέτρα ἐστὶν ὁ Χριστός»…*

---

LSHIa

**462** ὑπερ L

heirm. στʹ EE 219, nr 314, Joannis monachi

**465** σοι Ia – **468** διαρκὴ L – **471** Οὐκέσεισεν L – πῦργον L – **472** στηριγμένον Ia

Ὑπῆρξας περιβολὴ γυμνουμένων
καὶ σωτήριος τροφὴ πενομένων
καὶ ὀρφανῶν καὶ χηρῶν σὺ προστάτης
καὶ τῶν ψυχῶν ἰατρὸς ἐμπειρότατος,
δαιμόνων τε φυγαδευτὴς
καὶ λαμπτὴρ μοναστῶν θεαυγέστατος.

*Θεοτοκίον.*

**Σ**υνώθησεν παραβάσει φθαρέντας
καὶ θανάτῳ καθυπέζευξεν ὄντως
ὁ δυσμενὴς τοὺς προπάτορας φθόνῳ·
ἀλλ᾿ ἡ τεκοῦσα Χριστόν, τὴν ζωὴν ἡμῶν,
πανύμνητε, τούτους, ἁγνή,
εἰς τὸ πρῶτον ἀνάγεις ἀξίωμα.

*Ὠιδὴ ζʹ. Οἱ ἐκ τῆς Ἰουδαίας*

**Τ**ῆς σαρκὸς τὰς ὀρέξεις
καὶ βραζούσας καμίνους

---

**483-485** cf. Gen 3:1-19

---

**477-479** cf. VH, 140 (et *AASS* Iunii III, 324E): *Τοσοῦτον δὲ ἠγάπα τοὺς πένητας ὡς γίνεσθαι ὀρφανοῖς ὡς πατὴρ καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. Οὐδὲ γάρ ἐστιν δυνατὸν διηγήσασθαι, πόσους ἐνέδυσεν γύμνους ἢ πόσους πεινῶντας διέθρεψεν ὁ Κύριος δι᾿ αὐτοῦ. … Οὔτε γὰρ πτωχός ποτε διὰ κενῆς ἀνεχώρησεν ἀπὸ τοῦ μοναστηρίου.* – **481** cf. notationem ad vv. 400-404

---

LSHIa

**478** om. Ia – **481** τὲ L – **484** καθυπέζευξεν : καθυπέβαλεν p.c. Ia – **486** ἀλλ᾿ ἡ : ἀλλὰ S : αλλὰ Ia – τὴν ζωὴν : τὸν θ(εὸ)ν Ia – **487** τούτους : τοὺς σοὺς H – **488** ἀνάγει S

heirm. ζʹ EE 224, nr 321, Joannis monachi

δρόσῳ τοῦ Πνεύματος
κατέσβεσας καὶ ὄμβροις
κατέκλυσας θαυμάτων
παθημάτων ἐπίρροιαν,
f. 83r / «ὁ τῶν πατέρων»· βοῶν·
«Θεὸς εὐλογητὸς εἶ».

**Ῥ**ωστικῇ ἐπομβρίᾳ
προσευχῶν σου, θεόφρον,
νόσους διέλυσας
ἀλόγων καὶ ἀνθρώπων·
τὰ ἄλογα γὰρ πάθη
λογικῶς καθυπέταξας,
«ὁ τῶν πατέρων»· βοῶν·
«Θεὸς εὐλογητὸς εἶ».

**Ὁ** ἐχθρὸς τῶν δικαίων
ἐξαιτεῖται πρὸς πάλην
σὲ τὸν ἀήττητον·
ἡττήθη δὲ καὶ γέλως

---

**495-496, 503-504** EE 224, nr 321, vv. 42-43 [cf. Dan 3:26, 52]

---

**492-494** cf. notationem ad vv. 405-406 – **497-500** cf. VH, 144: *…Οἱ δὲ ἄγροικοι τῶν χωρίων τῶν κειμένων πλησίον τῆς μονῆς οὐ μόνον αὐτοὶ ἐθεραπεύοντο ἀπὸ τῶν συμβαινόντων ἐν αὐτοῖς κακῶν, ἀλλὰ καὶ τὰ ἄλογα αὐτῶν εἴ ποτε ἠρρώστησεν ἢ ὑπὸ δαίμονος ἢ ὑπὸ ἄλλου τινὸς πάθους, εὐθέως πρὸς τὸν ἅγιον αὐτὸν ἀπέφερον, καὶ μετὰ ἅλατος τῇ ἰδίᾳ χειρὶ τὴν γλῶσσαν τοῦ βοὸς ἀπέτριβε καὶ εὐχὴν ποιήσας τὴν σφραγῖδα τοῦ Χριστοῦ ἐν τῷ μετώπῳ αὐτοῦ ἐπετίθει, ἐν καὶ αὐτῇ τῇ ἡμέρᾳ ὁ Κύριος ἰάσατο αὐτόν.* – **505-507** cf. VH, 146: *…Ἦν δὲ λοιπὸν ἐτῶν ἑξήκοντα καὶ ἠρρώστησε σφόδρα, ὥστε πάντας ἡμᾶς νομίσαι ὅτι μέλλει τελειοῦσθαι· … Αὐτὸς δὲ μετὰ τοῦ ὑγιᾶναι διηγεῖτο ἡμῖν λέγων· «Ὄντως, τέκνα, ἔθλιψέ με ὁ σατανᾶς, ἐμποδίσας μοι τὴν καλὴν ὁδὸν ἀπελθεῖν· ἐν γὰρ τῷ ἀπιέναι με ἔστη ὁ διάβολος λέγων· ʿποῦ αὐτὸν ἀπάγετε; Ἔτι ἔχω παλέσαι μετ᾽ αὐτοῦ᾽. Καὶ εὐθέως ὁ ἀπαγαγών με λέγει· ʿἜτι ἔχεις ἀγωνίσασθαι· ἄπελθε οὖν, πρόσεχε τὰ παιδία σου᾽».*

---

LSHIa

**492** ὄμβρους SIa – **493** κατέκλυσας : ἀνέβλυσας Ia – **495-496** ὁ τῶν π(ατέ)ρων ἡμῶν (Θεὸς εὐλογητὸς εἶ) S – **496** θ(εὸ)ς εὐ(λ)ο(γητὸς) εἶ L – **497** Ῥωστικὴ L – **502** καθ᾽ὑπέταξας L – **504** θ(εὸ)ς εὐ(λ)ο(γητὸς εἶ) L – **506** πάλιν SIa

ὡράθη πρὸ ποδῶν σου,
μὴ κραυγάζων, Ὕπατιε·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

*Θεοτοκίον.*

**Π**ολυώνυμε κόρη,
τὸ πρὸ πάντων αἰώνων
ἐναποκείμενον
μυστήριον εἰσάγεις
γεννήσει σου ἀφθόρῳ
εἰς τὸν κόσμον, ᾧ ψάλλομεν·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

*Ὠιδὴ η΄. Ἑπταπλασίως κάμινον*
*τῶν Χαλδ(αίων ὁ τύραννος)*

**Ο**ἰκειοτάταις χρώμενος
πρὸς Χριστὸν ἀνανεύσεσιν,
ὅλως τῆς σαρκὸς
τὸ εὐμενὲς ἐξέκλινας
καὶ κούφως διέπλευσας
τὸ κοσμικὸν κλυδώνιον,

**511-512, 519-520** EE 224, nr 321, vv. 42-43 [cf. Dan 3:26, 52]

LSHIa

**509** προποδῶν L – **511-512** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέρων – εἶ) S : ὁ τῶν π(ατέ)ρων (ἡμῶν – εἶ) Ia – **511** ἡμῶν : βοῶν H – **512** θ(εὸ)ς εὐ(λ)ο(γητὸς εἶ) H – **514** τὸν S – προπάντων L – **518** ὧ L – **519-520** ὁ τῶν π(ατέ)ρων (ἡμῶν – εἶ) L : ο τ(ῶν – εἶ) S : (ὁ - εἶ) Ia – **520** (Θεὸς – εἶ) H

heirm. η΄ EE 219-220, nr 314, Joannis monachi

**521** Οἰκειοτάταις L – **522** Χριστὸν : θ(εὸ)ν Ia – ἀναβάσεσιν S – **523** ὅλος S : ὅλον Ia – **524** δυσμενές Ia

ἄγγελον Θεοῦ
περιφρουροῦντά σε ἔχων,
μεθ᾽ οὗ ἐβόας, πάτερ·
«ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

Ὑπὸ Χριστοῦ κινούμενος,
Νεστορίου τεθέασαι
τὴν περιβολὴν
καὶ ἐκκοπήν, Ὑπάτιε,
ναοὺς δὲ κατέαξας
εἰδωλικούς, φωτίζων λαοὺς
σέβειν Ἰησοῦν τὸν Λυτρωτήν, ἐκβοῶντας·

---

**530-532** EE 219-220, nr 314, vv. 54-57 [cf. Dan 3:84]

---

**527-528** cf. VH, 204 (et *AASS* Iunii III, 330D): *…καὶ τὸν Ἄγγελον τοῦ Θεοῦ τὸν πάντοτε συμπαρόντα αὐτῷ…* – **533-536** cf. VH, 208-214 (et *AASS* Iunii III, 330F-331C): *…Νεστορίου ἐρχομένου ἀπὸ Ἀντιοχείας καὶ μέλλοντος γίνεσθαι ἐν τῇ φαιδρᾷ Κωνσταντίνου πόλει Ἐπισκόπου … ὁρᾷ ὁ ἅγιος Ὑπάτιος, ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῆς αὐτῆς μεγαλοπόλεως ὅτιπερ τινὲς κοσμικοὶ προκαθίζουσιν αὐτὸν ἐν τῷ θρόνῳ, καὶ εὐθέως φωνῇ λέγουσα· «Τρεῖς καιροὺς καὶ ἥμυσι καιροῦ, καὶ ἐκτίλλεται τὸ ζιζάνιον.» …καθηρέθη, πληρωθέντων τῶν τριῶν ἥμισυ ἐτῶν, καθὼς ὁ Κύριος προεδήλωσεν αὐτῷ…* – **537-539** cf. VH, 200 (et *AASS* Iunii III, 329B): *…Ζῆλον δὲ εἶχε Θεοῦ καὶ πολλοὺς τόπους ἐν τῇ Βιθυνῶν χώρᾳ ἀπὸ πλάνης εἰδωλικῆς ἡμέρωσεν· εἴ που γὰρ ἤκουσεν ὅτι ἢ δένδρον ἢ ἄλλο τι τοιοῦτον προσκυνοῦσί τινες, ἤρχετο ἐκεῖ εὐθέως παραλαβὼν τοὺς μονάζοντας τοὺς ἑαυτοῦ μαθητὰς καὶ κατακόψας αὐτὸ κατέκαιεν πυρί· καὶ οὕτω λοιπὸν κατὰ μέρος χριστιανοὶ γεγόνασιν.*

---

LSHIa

**527** ἀγγέλους Ia – **528** περιφρουροῦντα σε L : περιφρουροῦντας σε Ia – **529** μεθῶν βοᾶς, ἀπαύστως S – μεθοῦ L – **530-532** ἱερ(εῖς – αἰῶνας) LS : ἱερεῖς εὐ(λ)ο(γεῖτε) λα(ος) υπ(ερυψοῦτε – αἰῶνας) H : ἱερεῖς ἀνυμνεῖτε λαὸς ὑπ(ερυψοῦτε – αἰῶνας) Ia – **533** Χριστοῦ : θ(εο)ῦ Ia – **535** τὴν τε προβολὴν S : τήν τε πρὸσβολὴν Ia – **536** Ὑπάτιε : ὑπέμεινας Ia – **537** ναοῦς L : ναὸς Ia – **539** ἐκβοῶντας : καὶ βοῶντας Ia

«οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας εἰς τοὺς αἰῶνας».

**Σ**ῶν ἀρετῶν τῇ κλίμακι
ἐπιβάς, ἀνελήλυθας
ἔνθα πρωτοτόκων
εὐκλεὴς ὁμήγυρις
καὶ θρόνῳ παρίστασαι
τῆς τρισηλίου, πάτερ, αὐγῆς,
μέλπων καθαρῶς
τῷ καθαρῷ ἀνενδότως·
«οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας εἰς τοὺς αἰῶνας».

*Θεοτοκίον.*

**Ο**ἱ θεοτόκον, δέσποινα,
ὀρθοδόξως φρονοῦντές σε

---

**540-543, 552-555** EE 219-220, nr 314, vv. 54-57 [cf. Dan 3:84]

---

**544** cf. PG 88, 579-1248

---

LSHIa

**540-543** οἱ παιδ(ες – αἰῶνας) LS : οἱ παῖδες εὐ(λ)ο(γεῖτε)· ἱερεῖς ἀνυμνεῖτε· λα(ος) υπ(ερυψοῦτε – αἰῶνας) H – **542-543** λαός ὑπ(ερυψοῦτε) εἰς πάντας τους (αἰῶνας) Ia – **544** Σῶν : Τῶν LH – **545** ἐπιστὰς S – **547** ἡ φαιδρά πανήγυρις Ia – **552-555** οἱ παιδ(ες – αἰῶνας) LS : οἱ παῖδες εὐ(λ)ο(γεῖτε)· ἱερεῖς (ἀνυμνεῖτε – αἰῶνας) H – **554-555** λαός ὑπ(ερυψοῦτε – αἰῶνας) Ia – **557** φρονοῦντες σε L

ῥήμασι τοῖς σοῖς
περιχαρῶς ἑπόμενοι,
σὲ νῦν μακαρίζομεν,
ὅτι Θεὸν μακάριον
ἔτεκες οὐσίαις ἐν δυσίν,
ᾧ βοῶμεν·
«οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας εἰς τοὺς αἰῶνας».

*Ὠιδὴ θʹ. Ἔφριξε πᾶσα ἀκοὴ*
*τὴν ἀπόρρητ(ον Θεοῦ συγκατάβασιν)*

**Ἰ**λύος, πάτερ, τῶν παθῶν
ἀνηγάγετο Χριστὸς καὶ ἐν πέτρᾳ σε
τῶν θελημάτων αὐτοῦ
f. 83v ἀπεριτρέπτως, μάκαρ, / ἐστήριξεν
καὶ ὑπεσκέλισεν ἐχθρῶν
σαθρὰ διαβήματα
καὶ καθυπέταξεν
τοῖς ὡραίοις σου ποσίν, ἱερώτατε.

---

**564-567** EE 219-220, nr 314, vv. 54-57 [cf. Dan 3:84] – **569-571** cf. Matth 16:18

---

**569-571** cf. notationem ad v. 472

---

LSHIa

**559** ἐπόμενοι L – **563** ὦ L – **564-567** οἵ παιδ(ες – αἰῶνας) L : οἱ παιδ(ες – αἰῶνας) S : οἵ παῖδες εὐ(λ)ο(γεῖτε – αἰῶνας) H : οἵ παῖδες εὐ(λ)ο(γεῖ)τε ἰἐρεῖς ἀνυμ(νεῖτε – αἰῶνας) Ia

heirm. θʹ EE 222, nr 317, Joannis monachi – ἔφριξεν L

**572** ὑπεσκέλλισεν L – **574** καθὑπέταξεν L

**Ὤ**ρθρισας, πάτερ, ἐκ παιδὸς
πρὸς Χριστόν, δικαιοσύνης τὸν ἥλιον,
τὸ ἐμπαθὲς τῆς σαρκὸς
μειώσας σκότος ἀγρύπνοις στάσεσιν·
τῆς ἀπαθείας σοι τὸ φῶς
ὅθεν ἐξανέτειλεν
καὶ εὐφροσύνη σε
ἐπουράνιος σαφῶς διεδέξατο.

**Σ**ήμερον ταύτην τὴν φαιδρὰν
ἐκτελοῦσι σου, Ὑπάτιε, κοίμησιν,
συνεορτάζει ἡμῖν
χορὸς ὁσίων, δικαίων πνεύματα,
μεθ᾽ ὧν αὐλίζῃ ἐν φωτὶ
δόξῃ καλλυνόμενος
τοῦ ἐραστοῦ σου Χριστοῦ
καὶ τῆς τούτου ἐντρυφῶν ὡραιότητος.

---

**577** cf. Mal 3:20

---

**576-577** cf. notationem ad vv. 362-363 – **579** cf. notationem ad v. 113

---

LSHIa

**580** ἀπαθεῖας L – **582** σοι Ia – **583** ἐπ᾽οὐ(ρά)νιος L : ἐποὐ(ρά)νιος S : ἐπου(ρα)νίως Ia – σαφῶς : σοφὲ S – **585** ἐκτελοῦσιν L – **588** μεθῷν L – αὐλίζει L – **590** χ(ριστ)έ Ia – **591** ἐντρυφᾶς Ia

**Ἤ**νθησας ῥόδον εὐθαλὲς
ἐν λειμῶνι τῆς ἀσκήσεως, ὅσιε,
καὶ ὡς κυπάρισσος
πρὸς ὕψος ἤρθης τῆς τελειώσεως·
εὐωδιάζεις δὲ ἡμᾶς
ὡς μύρον ἡδύπνοον
καὶ τὰς καρδίας ἡμῶν
ἱλαρύνεις τῷ ἐλαίῳ τῶν πόνων σου.

*Θεοτοκίον.*

600-607 **Φ**εῖσαί μου, σῶτερ, ὁ τεχθεὶς
καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον
……………… = AHG VIII, XXVIII, 301-309 (Josephis).

---

LSHIa

**592** ἐνθαλὲς Ia – **595** ὑψος Ia – ἤρθης : ἦλθες Ia – τελειότητος Ia – **599** τῶν πόνων σου : τῆς πίστεως Ia

In vv. **600-607** Ia hoc theotokion tradit: Φώτισον, πύλη τοῦ φωτὸς τῆς καρδίας μου… =AHG VII, 178-186 (Josephis?).

Post odem 9 Ia hoc exaposteilarion tradit: <*Ἦχος γ΄.*> *Ὁ οὐρανὸν τοῖς ἄστροις.* Ἐν ἱεράρχαις *αὐγάζεις…* (=Appendix VII, vv. 48-54).

## 18
## In s. Leontium martyrem
## In ss. mm. Isaurum, Basilium, Innocentium, Peregrinum, Ermeiam et Philexem

*Μηνὶ τῷ αὐτῷ ιη′: τοῦ ἁγίου μάρτυρος Λεοντίου καὶ τῶν ἁγίων μαρτύρων Ἰσαύρου, Βασιλείου, Ἰν<ν>οκεντίου, Περεγρίνου, Ἑρμείου καὶ Φίληκος.*

*Κάθισμα.*
*Ἦχος δ′. Πρὸς τὸ Ταχὺ προκατάλαβε*

**Σ**ταυρὸν ὥσπερ θώρακα
ἀναλαβόμενος
πρὸς πάλην ἐχώρησας
τῶν ἀοράτων ἐχθρῶν
γενναίως, Λεόντιε·
ὅθεν ἐξηφάνισας
τὴν αὐτῶν δυναστείαν
[ἔπαθλον ἐκομίσω …
… μάρτυς Λεόντιε.] …………………………………… = MV X, 62.

[……………… ??? ………………]

## 19
## In s. Zosimum martyrem

*Μηνὶ τῷ αὐτῷ ιθʹ τοῦ ἁγίου μάρτυρος Ζωσίμου.*

*Κάθισμα. Ἦχος δʹ. Πρὸς Ἐπεφάνης σήμερον*

**Ὡ**ς ἀστέρα μέγαν σε
ἡ ἐκκλησία
κεκτημένη, Ζώσιμε,
τῶν σῶν ἀγώνων τῷ φωτὶ
περιαυγάζεται κράζουσα·
«χαῖρε μαρτύρων
τερπνὸν ἐγκαλλώπισμα».

*Στιχηρά. Ἦχος πλ. δʹ. Πρὸς Οἱ μάρτυρές σου, Κύριε*

**Ζ**ωὴν τὴν ἀτελεύτητον
ἐκληρονόμησας
ἐνθέως ζήσας,
μέγιστε Ζώσιμε,
μαρτύρων κλέος,

---

LHPVVa

**Tit.** lac. L – Τῇ αὐτ(ῇ) ἡμέ(ρᾳ) τοῦ ἁγίου μ(ά)ρ(τυρος) ζωσίμου H – Μη(νὶ) τὼ α(υ)τ(ω) εις τ(ην) κ´· τοῦ ἁγ(ιου) μαρτ(υ)ρ(ος) ζωσημ(ου) V – ιθʹ : κʹ PVVa – **Tit-68** Μηνὶ - ἀγαθῶν lac. L

heirm. kath. HAD, 292; MV V, 74 – kath. post odem 3 in Va – **1-7** inc. kath. ed. in EfstrTam, 50 (1951) 342 (ex codd. P; Pc, f. 47r) – **1** μέγαν σε : μέγιστε V : μέγιστον Va –

Post vv. **1-7** P hoc synaxarium tradit: *Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ζωσίμου. Οὗτος ὁ ἅγιος στρατιώτης ὑπῆρχεν ἐπὶ τραϊανοῦ τοῦ βασιλ(έως) ἐξ ἀπολλωνιάδος τῆς ἐν σωζοπόλει· ἡγεμονεύοντος δὲ τῆς ἐν πισιδείᾳ ἀντιοχείας δομητιανοῦ· ῥίψας αὐτοῦ τὰ ὅπλα· καὶ προσφυγὼν τῇ τοῦ θ(εο)ῦ ἁγία ἐκκλησία· τοῦ ἐν χ(ριστο)ῦ καταξιοῦται βαπτίσματος· ὅθεν ἀχθεὶς πρὸς τὸν ἡγεμόνα ἀναρτηθεὶς ξέεται· καὶ τύπτεται· καὶ τείνεται σφοδρῶς· καὶ κραβάτω χαλκῶ πεπυρακτωμένω ἐπιτίθεται μεταβληθέντος δὲ τοῦ πυρὸς εἰς δρόσον· πολλοὺς πρὸς τὴν εἰς χ(ριστὸ)ν ἐπισπᾶται πίστιν· πώλοις δὲ μετὰ ταῦτα προσδεθεὶς ἀξίοις· καὶ τοὺς πόδας κρηπίσι καθηλωθεὶς τρέχειν ἀναγκάζεται· καὶ τῶ ἡγεμόνι ἐφέπεσθαι· τρισὶν δὲ ἡμέραις ἄσιτος διαμείνας· θεώθεν αὐτῶ τροφῆς ἐκπεμφθήσεις μεταλαβὼν ἐνίσχυσεν· ἀχθεὶς δὲ εἰς ἐξέτασιν κρεμᾶται καὶ ξέεται· καὶ λαμπᾶσι πυρὸς καταφλεχθεὶς, τὴν κεφαλὴν τέμνεται* (cf. SynaxEC 757; Menol 504; MV X, 66).

heirm. stich. PaAD, 871 – **8-37** inc. stich. ed. in EfstrTam, 50 (1951) 341 (ex codd. P; Pc, f. 46v; S)

καὶ ἀπενέκρωσας νεκρωθεὶς
τὰς μηχανουργίας τοῦ ἀλάστορος·
ὅθεν σε δοξάζει μετὰ θάνατον
σημείοις ὁ δεσπότης, πάντοτε
ὃν δυσώπει τοῦ οἰκτειρῆσαι ἡμᾶς.

*Ὅμοιον.*

Ὑπέμεινας τυπτόμενος
καὶ μαστιζόμενος
καὶ ἐπὶ κλίνης

---

**15-16** cf. LATYŠEV II, 82: *τῶν πιστῶν δέ τινες τὸ τίμιον ἀνελόμενοι σῶμα σου τῇ Κομάνῃ κατέθεντο, νόσων παντοίων ἴαμα καὶ δαιμόνων πληγήν.* – **18-24** cf. AMZ 814E-815B: *Δομετιανὸς λέγει· Τυπτέσθω στρατιωτικῶς. Ἐπὶ πολὺ δὲ τυπτηθεὶς ὁ Μακάριος… Ἐκέλευσεν δὲ πάλιν ὁ Ἡγεμὼν δεθέντα αὐτὸν τείνεσθαι ἐκ τεσσάρων. … Ἐκέλευσεν δὲ ἐνεχθῆναι κράβατον χαλκοῦν, καὶ ὑποκαίεσθαι σφοδρῶς· μεγάλης δὲ τῆς φλογὸς ἐπικειμένης, ἐκέλευσε τὸν Μακάριον ἀποδυθέντα βληθῆναι ἐν αὐτῇ. … ἐκέλευσεν ἡλωθεῖναι κρηπίδας, καὶ συγκαθηλωθῆναι τοῖς ποσὶ τοῦ Μάρτυρος καὶ βληθῆναι ἀλύσοις, καὶ συνδεθέντα πώλοις ὁδεύειν δρομέως.* Cf. SynaxEC 757: *…ἀναρτηθεὶς ξέεται καὶ μετὰ τοῦτο τύπτεται, ἐκ τεσσάρων ταθείς, εἶτα κραββάτω χαλκῷ πεπυρακτωμένῳ ἐπιτίθεται. … Ὁ δὲ ἅγιος Ζώσιμος κριπῖσι προσηλωθεὶς καὶ πώλοις προσδεθείς… Ἀχθεὶς δὲ εἰς ἐξέτασιν, πάλιν κρεμασθεὶς ξέεται καὶ λαμπάσι πυρὸς ὑποκαίεται…* Cf. Menol 504: *…ταθεὶς ἐκ τεσσάρων, ἐτύφθη σφοδρῶς, καὶ κρεμασθεὶς ἐπὶ ξύλου, ἐξέσθη, καὶ ἐπὶ κραβάτου χαλκοῦ πεπυρακτωμένου ἐτέθη. … Καὶ μετὰ ταῦτα κρηπῖσι καθηλωθεὶς, καὶ ἵπποις νέοις προσδεθεὶς, ἠναγκάσθη συντρέχειν τῷ ἡγεμόνι…* Cf. MV X, 66: *…ἐπὶ κραβάτῳ χαλκῷ πυρωθέντι ἐπιτίθεται, ἐκ τεσσάρων ταθείς. … ὁ δὲ ἅγιος Ζώσιμος, κρηπῖσι καθηλωθείς, καὶ πώλοις προσδεθείς, συνδραμεῖν ἠναγκάσθη τῷ Ἡγεμόνι… Ἀχθεὶς δὲ εἰς ἐξέτασιν, πάλιν κρεμασθεὶς ξέεται, καὶ λαμπάσι πυρὸς κατακαίεται καὶ σιδήροις ὀξέσι κατακεντᾶται τὸν νῶτον, καὶ ξυρῷ τέμνεται τὰ νεῦρα, καὶ τὰ ὀστᾶ συντρίβεται σιδηραῖς σφαίραις…* Cf. Latyšev II, 80-82: *…ὁ παράνομος τύπτεσθαι τοῦτον χερσὶ γενναίως κελεύει ἀπηνῶν καὶ ὠμοτάτων ἀνδρῶν. διαταθέντος οὖν καὶ σφοδρῶς τυπτομένου ταῖς μάστιξι, τὸ ἔδαφος ἐπληρώθη τοῦ αἵματος… Δομετιανὸς δὲ … ἐκ τεσσάρων τείνεσθαι κελεύει τὸν μάρτυρα καὶ δεινῶς καταικίζεσθαι. …κράβατον οὖν χαλκοῦν ἐνεχθῆναι κελεύει, φλογί τε πολλῇ τοῦτον πυρακτωθῆναι κἀν τούτῳ, φεῦ, ἀνακλιθῆναι τὸν μάρτυρα. …ἕλκεσθαι τὸν Ζώσιμον κρηπῖσι τοὺς πόδας ἐμπεπαρμένον ἥλους ὀξεῖς ἐχούσαις ἐκέλευσεν, ἐκεῖσε τοῦτον ἀπειλήσας παραδοῦναι πυρί. …ξέεσθαι καὶ πάλιν τοῦτον ἐκέλευσεν, εἶτα καὶ λαμπάδας πυρὸς προσάγεσθαι τῇ κοιλίᾳ καὶ ταῖς πλευραῖς αὐτοῦ…*

---

LHPVVa

**13** νεκρωθεὶς om. V – **16** καὶ τέρασι ante πάντοτε add. Va – **19** σπαθηζῶμενος V : σπαθιζόμενος EfstrTam

ἀνακλινόμενος
πυρακτωθείσης
καὶ καθηλούμενος, σοφέ,
πόδας σου κρηπῖσι καὶ συρόμενος
καὶ νικητικῶς καταστεφόμενος·
διὸ ταῖς σαῖς πρεσβείαις, Ζώσιμε,
ἐν εἰρήνῃ ἡμᾶς συντήρησον.

*Ὅμοιον.*

**Μ**αρτύρων διαδήμασιν
ὡραϊζόμενος
καὶ πορφυρίδα
φορῶν σοῖς αἵμασι
πεφοινιγμένην,
τῷ ἀθανάτῳ βασιλεῖ
μετὰ τῶν ἀγγέλων νῦν παρίστασαι,
Ζώσιμε, μαρτύρων ἀκροθίνιον·
διὸ ταῖς σαῖς πρεσβείαις αἴτησαι
πᾶσι, μάκαρ, τὸ μέγα ἔλεος.

*Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Τὴν Ζωσίμου μέλψωμεν ἔνθεον χάριν· Ἰωσήφ.*

*Ἰωσήφ.*

*Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ,*
*τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ*

**Τ**αύτην σου τὴν φωσφόρον
καὶ πανευκλεῆ καὶ παναοίδιμον
τοὺς δοξάζοντας μνήμην,
ἀθλοφόρε, περίσωζε, Ζώσιμε.

---

LHPVVa

**27** ἐν om. P – **31** σοὶ σώμασιν V – **36-37** αἴ(τησαι-ἔλεος) Va

**Tit. kan**. οὗ ἡ - χάριν deest V – Ἰωσήφ[1] om. HPVVa – Ἰωσήφ[2] in marg. HVa : deest PV

Incipit kanonis ed. in EfstrTam, 50 (1951) 342 (ex cod. P).

heirm. α΄ EE 224, nr 321, Joannis monachi

**Ἥ**λιος ὥσπερ μέγας,
μάρτυς, ταῖς ἀκτῖσι τῶν ἀγώνων σου
τῶν πιστῶν τὰς καρδίας
κατεφώτισας χάριτι, Ζώσιμε.

**Ν**έκρωσιν ζωηφόρον
διὰ πολυτρόπων ἐνδυσάμενος,
ἀθλοφόρε, βασάνων,
ἁμαρτίας τὸ πάχος ἐκδέδυσαι.

**Ζ**ήλῳ πυρποληθεῖσα
θεϊκῆς ἀγάπης ἡ καρδία σου,
ἐμπρησμὸν ἀθεΐας
ἀπειργάσατο, μέγιστε Ζώσιμε.

*Θεοτοκίον.*

**Ὥ**ριμον φέρεις βότρυν
οἶνον ἀποστάζοντα, πανάμωμε,
εὐφροσύνης τῷ κόσμῳ,
Ἰησοῦν τὸν σωτῆρα καὶ κύριον.

---

**54-57** cf. AHG IX, IV, 53-56: *Ὡς κατάκαρπος ἄμπελος βότρυν ἐγεώργησας, ἀποστάζοντα ἀφθαρσίας οἶνον, ἄχραντε, τῶν πιστῶν καρδίας τὸν εὐφραίνοντα.*

---

**47-48** cf. notationem ad vv. 18-25

---

LHPVVa

**42** Ἥλιος : Ὅλος V – **46-49** om. V – **49** ἐνδέδυσαι Va – **50-53** om. Va – **55** πανάμωμε : πανεύφημε Va

*Ὠιδὴ γʹ. Σὺ εἶ τὸ στερέωμα*

**Σ**τάντα πρὸ βημάτων σε
καὶ τὴν Θεοῦ, σοφέ, σάρκωσιν
ζώσῃ φωνῇ καθομολογοῦντα,
ὁ παράφρων ᾐκίζετο.

**Ἵ**στασο ὡς ἄσαρκος,
τοὺς αἰκισμούς, σοφὲ Ζώσιμε,
ἐγκαρτερῶν καὶ τῶν παρανόμων
διελέγχων τὸ ἄθεον.

**Μ**έλη σπαραττόμενα
διὰ Χριστὸν ὁρῶν, Ζώσιμε,
f. 84r τῶν ἀγαθῶν / τὴν ὁμολογίαν
ἀρραγῆ διετήρησας.

*Θεοτοκίον.*

**Ο**ἶκος ἐχρηματίσας,
θεοχαρίτωτε δέσποινα,
τοῦ Λυτρωτοῦ, τοῦ δι᾽ εὐσπλαγχνίαν
τοὺς ἀνθρώπους θεώσαντος.

---

**62-65** et **66-69** cf. AMZ 814E-816D

---

LHPVVa

heirm. γʹ EE 224, nr 321, Joannis monachi

**61** αικήζεται V – **63** τοῖς αἰκισμοῖς Va – **69** ἀρραγὴ L – **72** διευσπλαγχνίαν L – **73** θεώσαντος : λυτρώσαντος Va

*Ὠιδὴ δʹ. Εἰσακήκοα, Κύριε,*
*τῆς οἰκονομίας σου (τὸ μυστήριον)*

**Ὑ**ψωθέντα ἐν ξύλῳ σε
ξέεσθαι προστάττει ὁ ἀθεώτατος,
ἀθλοφόρε γενναιότατε,
τῶν σεπτῶν ἀγγέλων ἰσοστάσιε.

«**Μ**εγαλύνω σε, Κύριε»,
πλήθη ἀλγηδόνων περικυκλούμενος
ἀνεβόας, ἀξιάγαστε·
«τὸν κρατύνοντά με καὶ ῥωννύοντα».

**Ἐ**πὶ κλίνης, πανεύφημε,
πεπυρακτωμένης προσεφαπλούμενος,
ἀνεπαύσω ἀγαλλόμενος
ἐν Θεῷ, παμμάκαρ, τῷ σωτῆρι σου.

---

**74-75** cf. AMZ 816D: *Ἐμμανὴς δὲ γενόμενος ὁ Δομετιανὸς, λέγει, Κρεμασθήτω ἐπὶ τοῦ ξύλου. Κρεμασθέντος δὲ αὐτοῦ… Ὁ δὲ Ἡγεμὼν λέγει· Ξεσθήτω ὁ ἀνοσιώτατος. Ξεομένου δὲ αὐτοῦ…* – **78-81** cf. AMZ 815C: *καὶ λαβὼν* [ὁ Ζώσιμος] *εὐχαριστήσας τῷ Θεῷ, ἔφαγεν λέγων, Εὐλογῶ σε, Κύριε, ὅτι ἐλέησάς με, καὶ οὐχ ὑπερίδες με, ἀλλὰ ἐκόρεσάς με τῇ οὐρανίᾳ σου τροφῇ· ὑμνῶ καὶ δοξάζω τὴν μεγαλοσύνην σου εἰς τοὺς αἰῶνας, ἀμήν.* Cf. Latyšev II, 82: *λαβὼν οὖν ἐκεῖνος καὶ φαγὼν καὶ πιών, «Εὐλογῶ σε, κύριε», εἶπεν, «ὅτι ἠλέησάς με, καὶ παρεκάλεσάς με τὸν ἀνάξιον δοῦλον σου· ὑμνῶ καὶ δοξάζω τὴν μεγαλοσύνην σου εἰς τοὺς αἰῶνας.* – **82-85** cf. AMZ 815A: *Ἐκέλευσεν δὲ ἐνεχθῆναι κράβατον χαλκοῦν, καὶ ὑποκαίεσθαι σφοδρῶς· μεγάλης δὲ τῆς φλογὸς ἐπικειμένης, ἐκέλευσε τὸν Μακάριον ἀποδυθέντα βληθῆναι ἐν αὐτῇ. Ποιήσαντος δὲ τοῦ Ἁγίου τὸν τύπον τοῦ σταυροῦ, καὶ καταβληθέντος, εὐθέως ὁ Κύριος τὸ πῦρ εἰς δρόσον μετέβαλεν, καὶ γὰρ δι᾽ ἀγγέλων ἡ τοῦ Θεοῦ βοήθεια ἐπεφάνη· Πάντες δὲ οἱ παρεστῶτες ἔλεγον, ὅτι ἀπὸ τῆς πυρᾶς τῆς πολλῆς ἐξέψυξεν. Οἱ δὲ ἄγγελοι τοῦ Θεοῦ παραγενόμενοι, ἐπῆραν τὸν ἅγιον μάρτυρα ἀπὸ τοῦ κραβάτου, καὶ κατέθεντο αὐτὸν ἔμπροσθεν πάντων.* Cf. Latyšev II, 81: *…κράβατον οὖν χαλκοῦν ἐνεχθῆναι κελεύει, φλογί τε πολλῇ τοῦτον πυρακτωθῆναι κἀν τούτῳ, φεῦ, ἀνακλιθῆναι τὸν μάρτυρα. γίνεται τοῦτο, καὶ γυμνοῦ τοῦ μάκαρος ἀνακλιθέντος ἐν τούτῳ … ἄγγελοι παραστάντες εὐθὺς αἴρουσί τε τοῦ κραβάτου τοῦτον ἀβλαβῆ καὶ πάντων κατατιθοῦσιν ἀοράτως ἐνώπιον…*

---

LHPVVa

heirm. δʹ EE 225, nr 322, Cosmae monachi

**77** ἰσοστάσιε L – **78** Μεγαλύνων Va – **81** τῷ κρατύνοντί με καὶ ῥωννύοντι LHPV – **82** Ἐπικλίνης L – **83** πρὸς ἐφαπλούμενος L

*Θεοτοκίον.*

**Λ**υτρωτὴν ἀπεκύησας
τῶν πεπεδημένων, Χριστὸν τὸν Κύριον,
ὃν οἱ μάρτυρες ποθήσαντες,
θεοτόκε, κλέος ἀπηνέγκαντο.

*Ὠιδὴ ε΄. Ὀρθρίζοντες βοῶμεν σοι, Κύριε*

**Ψ**υχῆς τὸ εὐγενὲς ἐλαμπρύνετο
πυρακτώσει
σαρκός, ἀξιάγαστε,
σὲ τοῦ Κυρίου κρατύνοντος.

**Ὡ**ς θεῖον στρατιώτην οὐράνιοι
ἐπιστάντες
ἐφρούρουν σε ἄγγελοι
ἀγωνιζόμενον, Ζώσιμε.

**Μ**εγάλως ταῖς βασάνοις ὁρῶντες
ἐγκαρτεροῦντα
λαοί σε, πανεύφημε,
Θεῷ τῷ ζῶντι ἐπίστευσαν.

---

**90-97** cf. notationem ad vv. 82-85 – **98-101** cf. AMZ 814F-815A: *Ἰδόντες δὲ πολλοὶ τῶν παρισταμένων τὴν ὑπομονὴν τοῦ μάρτυρος, ἐπίστευσαν τῷ Θεῷ.*

---

LHPVVa

**88** ὃν L

heirm. ε΄ EE 226, nr 324, Germani patriarchae Constantinopolitani

**100** λαοὶ σὲ L

*Θεοτοκίον.*

**Ἐ**κύησας ἐν χρόνῳ τὸν ἄχρονον,
θεοτόκε,
τὰ χρόνια λύοντα
πάντων βροτῶν ἁμαρτήματα.

*Ὠιδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

**Ν**εκρώσεως καὶ φθορᾶς ἐξεδύσω,
ἀθλοφόρε γενναιόφρον, τὸ πάχος
καὶ στολισμὸν ζωῆς καὶ ἀφθαρσίας
καθυπεδέξω ἐν Πνεύματι, Ζώσιμε,
τὴν γύμνωσιν τῶν δυσσεβῶν
στηλιτεύων τοῖς λόγοις σου, ἔνδοξε.

**Ἐ**νεύρου σε ὁ σωτήριος λόγος,
καθηλούμενον κρηπῖσι τοὺς πόδας
καὶ ἐν ὁδῷ ἱερῶν μαρτυρίων
f. 84v κατευθυνόμε/νον, μέγιστε Ζώσιμε,
τὰ κέντρα τε τοῦ πονηροῦ
συμπατοῦντα ἀνδρείῳ φρονήματι.

---

**106-111** cf. AMZ 814E-816D – **112-117** cf. AMZ 815B: …[Δομετιανὸς] *ἐκέλευσεν ἡλωθεῖναι κρηπῖδας, καὶ συγκαθηλωθῆναι τοῖς ποσὶ τοῦ Μάρτυρος καὶ βληθῆναι ἁλύσοις, καὶ συνδεθέντα πώλοις ὁδεύειν δρομέως. Ὁ δὲ προσδεθεὶς τοῖς πώλοις, οὐκ ἐνεδίδου τοῦ ὁδεύειν, ἀλλ᾽ ἔμπροσθεν τῶν πώλων προέτρεχεν· ὁ γὰρ Θεὸς ἦν μετ᾽ αὐτοῦ, βοηθὸς αὐτοῦ γενόμενος…* Cf. Latyšev II, 81: …*ἕλκεσθαι τὸν Ζώσιμον κρηπῖσι τοὺς πόδας ἐμπεπαρμένον ἥλους ὀξεῖς ἐχούσαις ἐκέλευσεν, ἐκεῖσε τοῦτον ἀπειλήσας παραδοῦναι πυρί.*

---

LHPVVa

heirm. στ′ EE 219, nr 314, Joannis monachi

**109** καθύπεδέξω L – **110-111** τὴν γύμνωσιν - ἔνδοξε : τὰ κέντρα τε τοῦ πονηροῦ συμπατοῦντα ἀνδρείῳ φρονήματι LH (cf. ll. 117-118) – τὲ L – **112** Ἐνεύρωσεν V – **113** κρηπίσι L – **114** ἱερῶ H – **116** τὲ L – πονυροῦ L

**Ν**ομίμως σε ἐναθλοῦντα, παμμάκαρ,
καὶ ἀλόγοις προσδεθέντα, ῥωννύει
ὁ λυτρωτής, ἅρμα τούτου δειχθέντα
καὶ πρὸς οὐράνιον νύσσαν ἐλαύνοντα,
πανόλβιε, καὶ παρ᾽ αὐτοῦ
τὰ βραβεῖα τῆς νίκης δεχόμενον.

*Θεοτοκίον.*

**Θ**αμβεῖται σου τὸν ἀνέκφραστον τόκον
γηγενοῦς κατανοοῦσα καρδία,
πῶς ὁ Θεὸς ἐν γαστρί σου οἰκήσας
τὴν ἐν ἡμῖν κατοικήσασαν πρότερον
ἐξῴκισεν ὡς ἀγαθὸς
ἁμαρτίαν, παρθένε πανύμνητε.

*Ὠιδὴ ζ′. Οἱ ἐκ τῆς Ἰουδαίας*
*καταντήσαντες παῖδ(ες)*

**Ἐ**πὶ τρεῖς σε ἡμέρας
ἀφειδῶς ὁ παράφρων
κελεύει σύρεσθαι
ἀλόγοις προσδεθέντα
καὶ πόδας ταῖς κρηπῖσι
καθηλούμενον, Ζώσιμε,

---

**118-123** cf. notationem ad vv. 112-117 – **130-137** cf. notationem ad vv. 112-117 et AMZ 815C: *Ἡμερῶν δὲ τριῶν διελθουσῶν…* Cf. Latyšev II, 82: *…τρεῖς ἡμέραι παρῆλθον…*

---

LHPVVa

**122** παρ᾽αυτοῦ L – **127** πρώτερον L – **128** ἐξοίκησεν L

Post odem 6 Va hoc *synaxarion* tradit: *Μνήμη τοῦ ἁγ(ίου) μ(άρτυ)ρο(ς) ζωσίμου· ψυχὴν ζώσιμος ὑπὲρ σοῦ θεὶς φιλτάτην, ξίφει θανὼν ζῇ ψυχικὴν ζωὴν λόγε. Οὗτος ὁ ἅγιος, ὑπῆρχε στρατιώτης ἐπὶ τραϊανοῦ τοῦ βασιλέως…* Des. *…καὶ οὕτως τὸν αὐχένα τμηθεὶς, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο* (cf. MV X, 66).

heirm. ζ′ EE 224, nr 321, Joannis monachi

**130** Ἐπιτρεῖς L – **134** κρηπίσι L

καὶ μελῳδοῦντα θερμῶς·
«Χριστέ, εὐλογητὸς εἶ».

**Ο**ὐδαμῶς τῆς εὐθείας
ὑπεκκλίναντι τρίβου
θεῖός σοι ἄγγελος
ἐπέστη οὐρανόθεν
τροφὴν ἐπικομίζων
καὶ βοᾶν προτρεπόμενος·
«ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ».

**Ν**όμους θείους τηροῦντα,
οἱ παράνομοι μάτην
σὲ κατηκίζοντο,
γενναῖε στρατιῶτα,
οὓς χάριτι τῇ θείᾳ
καταισχύνων ἐκραύγαζες·
«ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ».

---

**137** cf. EE 224, nr 321, v. 43 [cf. Dan 3:26, 52] – **144-145**, **152-153** EE 224, nr 321, v. 43 [cf. Dan 3:26, 52]

---

**138-145** cf. AMZ 815C: *Ὁ δὲ Ἡγεμὼν ἰδὼν τὴν ὑπομονὴν τοῦ Μάρτυρος, ἐκέλευσεν αὐτὸν κατάκλειστον γενέσθαι καὶ τροφὴν μὴ δίδοσθαι αὐτῷ τὸ σύνολον. Ἡμερῶν δὲ τριῶν διελθουσῶν, καὶ τροφὴν μὴ δεξαμένου αὐτοῦ, ὠράθησαν ἐν τῇ φρουρᾷ δύο παῖδες, ὁ μὲν βαστάζων ἄρτον, ὁ δὲ ἕτερος ἀγγεῖον ὕδατος, καὶ λέγουσι τῷ Μάρτυρι· Δέξαι τὸν μαργαρίτην τοῦτον τὸν πεμφθέντα σοι ὑπὸ Κυρίου τοῦ Θεοῦ σου, καὶ λαβὼν εὐχαριστήσας τῷ Θεῷ, ἔφαγε λέγων, Εὐλογῶ σε, Κύριε…*

---

LHPVVa

**137** χ(ριστ)ε εὐ(λ)ο(γητὸς) εἶ L – **138** εὐθεῖας L – **139** ὑπεκκλίνοντι P : υπεκλινατε V : ὑπεκλίνοντι Va – **140** θεῖος σοι LHPVa : θεῖος σε V? – **144-145** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς εὐ(λ)ο(γητὸς) εἶ H : ὁ τ(ῶν – εἶ) P : ὁ τῶν π(ατέ)ρων (ἡμῶν-εἶ) Va – **146** θεῖους L – **149** γενναίε L – **150** οὗς L – θεῖα L – **152-153** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς εὐ(λ)ο(γητὸς) εἶ H : ὁ τ(ῶν – εἶ) P : ὁ τῶν π(ατέ)ρων (ἡμῶν-εἶ) Va

*Θεοτοκίον.*

**Χ**αῖρε μόνη τεκοῦσα
τὸν οὐράνιον ἄρτον,
χώρα ἀνήροτε,
τὸν τρέφοντα τὴν κτίσιν
καὶ σώζοντα τοὺς πίστει
καθ᾿ ἑκάστην κραυγάζοντας·
«ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ».

*Ὠιδὴ η′. Νικηταὶ τυράννου καὶ φλογὸς*

**Ἀ**ναβὰς εἰς ὕψος
μαρτυρίου, γνώριμος πάσῃ τῇ κτίσει
ἀληθῶς ἐδείχθης,
τὰς ἐπάρσεις, Ζώσιμε, τοῦ ἀλλοτρίου
ταπεινώσας πάσας· διό σε γεραίρομεν
ἀνυμνολογοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

**Ῥ**ωμαλέως, μάρτυς,
f. 85r τοῦ πυρὸς ὑπήνεγκας τὴν τι/μωρίαν·
ὁ γὰρ θεῖος πόθος

---

**155** cf. Ioh 6:31-35 – **160-161** EE 224, nr 321, v. 43 [cf. Dan 3:26, 52]

---

**168-173** cf. notationem ad vv. 83-85 et AMZ 816E: *Ὁ Ἡγεμὼν λέγει, Ἐνέγκαντες αὐτῷ κανδήλας πυρὰς, ἅψασθε αὐτοῦ τὰς κοιλίας. Ζώσιμος λέγει, Οὐχὶ μόνον κανδήλας μοι προσάγων· ἀλλ᾿ εἰ καὶ ὅλον τὸ σῶμα μου κατακαύσῃς, οὐν ἂν με νικήσεις· Πάρεστιν γὰρ ἐνδυναμῶν με Χριστὸς…*

---

LHPVVa

**154** Χαίρε L – **156** χώρα : χαῖρε Va – ἀνήρωτε L – **158** σώζοντα τοὺς : ζῶσαν τοῦ V – **159** καθεκάστην L – **160-161** ο τ(ῶν-εἶ) L : ὁ τῶν π(ατέ)ρων ἡμῶν (Θεὸς εὐλογητὸς εἶ) H : ὁ τ(ῶν-εἶ) P : ὁ τ(ῶν-εἶ) Va

heirm. η′ EE 221, nr 316, Joannis monachi

**163** γνωρίμου V – πᾶσῃ L – **167** (Χριστὸν εἰς τοὺς αἰῶνας) P – **168** Ῥωμαλαίως L

ἔνδον ἐπανήπτετο σοῦ ἐν καρδίᾳ,
δροσισμῷ ἀρρήτῳ ὅλον ἀναψύχων σε,
ὑπὲρ τῶν ἀνθρώπων τὴν φύσιν ἐναθλοῦντα.

Ἰατρὲ νοσούντων,
ἀθλοφόρε Ζώσιμε, ἰάτρευσόν μου
τῆς ψυχῆς τὰ πάθη
τοῖς τιμίοις πάθεσιν, οἷσπερ ὑπέστης,
τοῦ Χριστοῦ τὸ θεῖον πάθος μιμησάμενος,
ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

**Ν**εκρωθέντας πρώην
διὰ παραβάσεως τοὺς ἐν τῷ κόσμῳ,
τὴν ζωὴν τεκοῦσα,
πάλιν ἀνεκαίνισας πρὸς ἀφθαρσίαν,
θεοτόκε· ὅθεν πίστει σε δοξάζομεν,
τὴν εὐλογημένην καὶ κεχαριτωμένην.

---

**180-181** cf. Gen 3:1-24

---

**174-177** cf. notationem ad vv. 15-16 et 18-24

---

LHPVVa

**171** ἐπανίπτεν V – σοῦ ἐν : ἐν τῇ HP : ἐν σῇ Va : σοῦ ἐν γὴ V – **173** ὑπερ L – **174** νοσοῦντων L – **176** τὴν ψυχὴν V – **177** οἴσπερ L – **179** ὃν υπ(ερυψοῦμεν-αἰῶνας) LHP : ὃν ὑπερυψοῦμεν (εἰς-αἰῶνας) Va – **180** Νεκρωθέντα H – **184** σὲ L

*Ὠιδὴ θʹ. Ὅρους παρῆλθες τῆς φύσεως …*
*… ἀκαταπαύστως μεγαλύνομεν.*

**Ἰ**σχὺν καὶ κράτος σοι δίδωσι,
μάρτυς, ὁ Χριστὸς διολέσαι τὸν τύραννον
καὶ ξίφει καρτερίας καὶ γενναιότητος
τὰς τούτου μυριάδας
ἐξαφανίσαι ἐμφανέστατα.

**Ὡ**ραῖος θείοις ἐν στίγμασι,
μάρτυς ἀθλοφόρε, γενόμενος, Ζώσιμε,
Κυρίῳ τὸν αὐχένα χαίρων ὑπέκλινας
καὶ τῇ τομῇ τοῦ ξίφους
Χριστῷ συνήφθης τελεώτερον.

**Σ**τρατὸς ἀγγέλων ἐκρότησε,
μάρτυς, νικητήν σε δεξάμενος ἄριστον,
Χριστὸς δὲ ἀθλοθέτης ὁ μεγαλόδωρος
στεφάνοις ἀφθαρσίας
σὲ κατεκόσμησε, πανόλβιε.

---

**198-200** cf. 2 Tim 4:8

---

**191-195** cf. AMZ 816E-F: *Ὁ δὲ Ἡγεμὼν … ἐκέλευσεν αὐτὸν ἀποκεφαλισθῆναι. Ἀπαγόμενος δὲ ὁ μάρτυς ἐπὶ τὸ τελειωθῆναι, ἤρξατο λέγειν· Κύριε ὁ Θεός μου ἔπιδε ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν, καὶ πρόσδεξαι τὴν ψυχήν μου μετὰ τῶν ἀπ᾽ αἰῶνος σοι εὐαρεστησάντων, ὅτι σὺ εἶ τὸ καύχημά μου, ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας.* Cf. SynaxEC 757 et MV X, 66: *τὸν αὐχένα τμηθεὶς τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον.* Cf. Menol 504: *Καὶ πάλιν εἰς ἐξέτασιν ἀχθεὶς, καὶ τὸν Χριστὸν ὁμολογήσας παῤῥησίᾳ, ἐτμήθη τὴν κεφαλήν.* Cf. Latyšev II, 82: *Μὴ ἐνδιδόντα τοίνυν αὐτὸν τὸ σύνολον καθορῶν, δίδωσι κατ᾽ αὐτοῦ τὴν ἀπόφασιν, «Ζώσιμον» εἰπών, «…ξίφει τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύω». Ἤχθης τοίνυν ἐπὶ τὸν τελειώσεως τόπον, πανάριστε, ἔστης εἰς προσευχὴν καὶ οὕτω δέχῃ τὴν τομὴν εὐπροθύμως…*

---

LHPVVa

heirm. θʹ EE 221, nr 316, Joannis monachi – ὄρους L – καὶ Κύριον : τῆς κτίσεως L – μ(ε)γ(αλύνομεν) L

**188** καὶ[2] om. Va – **191** θεῖοις L – **196-200** om. V – **196** ἐκρότησεν L – **200** κατεκόσμησεν L

**Ἡ** θεία μνήμη σου, Ζώσιμε,
σήμερον ἡμᾶς κατευφραίνει ἐν Πνεύματι,
ἐν ταύτῃ σου ὑμνοῦντας τὰ ἀριστεύματα,
τοὺς πόνους, τὴν ἀνδρείαν,
δι᾿ ὧν μεγάλης δόξης ἔτυχες.

*Θεοτοκίον.*

**Φ**ωτὸς ὑπάρχουσα τέμενος,
φώτισον, ἁγνή, τῆς ψυχῆς μου τὰ ὄμματα,
ἅπερ ἡ ἁμαρτία δεινῶς ἠμαύρωσεν,
ὅπως σε μακαρίζω
τῇ προστασίᾳ σου σωζόμενος.

---

LHPVVa

**201** θεῖα L – Ζώσιμε : ἅγιε Va – **205** διῶν L – μεγάλως V – **209** σὲ L

## 20

## In ss. mm. Innam, Pinnam et Rimmam
(vv. 1-11, 21-56, 75-288)

## In s. Eustochium et socios martyres
(vv. 12-20, 57-74, 289-528)

f. 85v *| Μηνὶ τῷ αὐτῷ κ′ τῶν ἁγίων μαρτύρων Ἰννᾶ, Πιννᾶ καὶ Ῥιμμᾶ καὶ τοῦ ἁγίου μάρτυρος Εὐστοχίου καὶ τῶν σὺν αὐτῷ.*

*Κάθισμα.*
*Ἦχος δ′. Πρὸς τὸ Ταχὺ προκατάλα(βε)*

**Τ**ὰ ὅπλα τῆς πίστεως
θωρακισάμενοι,
πρὸς πάλην ἐξήλθετε
τοῦ παλαιοῦ πτερνιστοῦ
καὶ τοῦτον ὠλέσατε,
μάρτυρες στεφηφόροι,
τῶν ἁγίων πολῖται·
ὅθεν ἐν εὐφροσύνῃ
τὴν ὑμῶν ἐκτελοῦμεν
πανήγυριν, ὑμνοῦντες Χριστόν,
τὸν ἐπὶ πάντων Θεόν.

---

**1** cf. I Thes 5:8

---

LHIa

**Tit**. Μηνὶ τῶ αὐτῶ κα′ τοῦ ἁγίου μεγ(α)λ(ο)μάρτυρος, ἰουλιανοῦ Ia – ἰννὰ L – πιννὰ L – ῥιμμὰ L – καὶ τοῦ ἁγίου μάρτυρος Εὐστοχίου καὶ τῶν σὺν αὐτῷ om. H

heirm. kath. HAD, 92 – **1-11** incip. kath. ed. in EfstrTam, 46 (1947) 118 (ex cod. Pc, f. 49v) – **1-11** post odem 3 in Ia – **2** θωρακισάμενοι : περιβαλόμενοι H – **3-4** πρὸς - πτερνιστοῦ om. Ia – **5** ὠλέσατε L – **7** τῶν ἁγίων πολῖται : τῶν ἀγγέλων πολῖται H : τῶν ἀγγέλων πολήτην Ia – **9** ἐκτελοῦντες Ia

Post vv. **1-11** H et ante vv. **1-11** Ia (post odem 3) hoc kathisma add.: *Ἕτερον (κάθισμα). Ἦχος δ′. Ἐπεφάνης σήμερον.* Ὥσπερ πύργος τρίγωνος ἀναφανέντες… (=Appendix VIII, vv. 1-7).

*Ἄλλον τοῦ μάρτυρος.*
*Ἦχος πλ. β′. Πρὸς τὸ Ἐλπὶς τοῦ κόσμου ἀγαθ(ή).*

12-20 **Ἀ**νδρειοτάτῳ λογισμῷ ……… = AHG X, XI, p. 132 (app.).

*Στιχηρά.*
*Ἦχος δ′. Πρὸς τὸ Ἔδωκας σημεί(ωσιν)*

**Ἀ**νδρέου τοῦ κήρυκος
τοῖς σελασφόροις διδάγμασιν
ἱερῶς φωτιζόμενοι,
ἠστράψατε μάρτυρες
τοῦ ἡλίου πλέον
καὶ τοὺς καθημένους
τῆς ἀγνωσίας ἐν νυκτὶ
πρὸς φῶς ἐνθέου βίου εἱλκύσατε
καὶ χαίροντες ἠθλήσατε
καὶ τὸν ἐχθρὸν κατῃσχύνατε
καὶ στεφάνους ἐδέξασθε
ἐκ Θεοῦ ἀγαλλόμενοι.

*Ὅμοιον.*

**Ἰ**ννᾶς ὁ θαυμάσιος,
Ῥιμμᾶς ὁ μέγας καὶ πάνσοφος
καὶ Πιννᾶς ὁ πανεύφημος,
Τριάδος ὑπέρμαχοι,

---

**24-28** cf. Matth 4:16; Is 9:1

---

**21-23** cf. Menol 269: *Οὗτοι οἱ ἅγιοι ἐγένοντο ἀπὸ Σκυθίας, ἐκ τοῦ βορείου μέρους μαθηταὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου…*; cf. PIRP 215:25-26: *Οὗτοι οἱ ἅγιοι ἐκ τῆς ἀρκτῴου γῆς τῶν βαρβάρων ὑπάρχοντες καὶ μαθηταὶ γεγονότες Ἀνδρέου τοῦ ἀποστόλου…*

---

LHIa

heirm. stich. PaAD, 429 – **21-56** incip. sticher. ed. in EfstrTam, 46 (1947) 117-118 (ex cod. Pc, f. 49v) – **28** εἰλκύσατε L – **31** ἐδέξασθε : ἐπλέξασθε L – **33** Ἰννὰς L – **34** ῥιμμὰς L – **35** πιννὰς L

ἐκκλησίας στῦλοι,
πύργοι εὐσεβείας,
λίθοι φαιδροὶ καὶ διαυγεῖς
ἀναδειχθέντες ἄθλων λαμπρότησιν,
Σιὼν τῆς ἄνω ὤφθησαν
λελαμπρυσμένοι οἰκήτορες·
ταῖς αὐτῶν ἡμᾶς, Κύριε,
ἱκεσίαις οἰκτείρησον.

*Ὅμοιον.*

**Π**όνοις τῆς ἀθλήσεως
καταβαλόντες τὸν δόλιον,
γενναιότατοι μάρτυρες,
θαυμάτων λαμπρότησι
τοὺς ἡμῶν ἀπαύστως
κουφίζετε πόνους,
τῶν προστρεχόντων εὐσεβῶς
ὑπὸ τὴν σκέπην ὑμῶν ἑκάστοτε,
f. 86r / Ἰννᾶ μακαριότατε,
Ῥιμμᾶ, Πιννᾶ ἀξιάγαστοι,
τῶν ἀγγέλων συνόμιλοι
πρεσβευταὶ τῶν ψυχῶν ἡμῶν.

*Ἄλλα τοῦ μάρτυρος.*
*Ἦχος πλ. β′. Πρὸς τὸ Τριήμερος ἀνέστης, Χριστὲ*

**Ε**ὐστόχιον καὶ Γαϊανόν,
Λουλοῦν, Πρόβιν, Οὐρβάσιον,
ἐν αἰνέσει μακαρίσωμεν, πιστοί,

---

**41-42** cf. Gal 4:26

---

LHIa

**37** στύλοι L – **38** εὐσεβεῖας L – **40** λαμπρότησι L – **42** οἰκήτορες L – **46** καταβαλλόντες L – **53** ἰννὰ L – **54** ῥιμμὰ L – πιννὰ L

heirm. stich. PaAD, 618 – **57-74** inc. stich. ed. in EfstrTam, 50 (1951) 349-350 (ex cod. G) – **58** λουλῶν L : Λουλώ EfstrTam – ὀρβάσιον L – **59** ἐναινέσει L

ἀθλήσαντας νομίμως
καὶ τὰς τοῦ διαβόλου
μηχανουργίας συμπατήσαντας.

*Ὅμοιον.*

**Ε**ὐστόχως συμπλακεὶς τῷ ἐχθρῷ,
Εὐστόχιε πανόλβιε,
ἀναρτήσει σπαθιζόμενος σφοδρῶς
καὶ ξίφει τὴν τιμίαν
τεμνομένου σου κάραν,
νίκης ἐστέφθης διαδήμασιν.

*Ὅμοιον.*

**Τ**ροχοῖς προσομιλοῦσαι χαλκοῖς,
λαμπᾶσι φλογιζόμεναι
θεῖαι κόραι καὶ ξεόμεναι δεινῶς
καὶ ἥλοις ὡς ὁ πάντων
ἡλούμεναι δεσπότης,
νίκης βραβεῖα ἀπηνέγκαντο.

---

**65-67** cf. *SynaxEC* 766:27-28 et 38-39: …[s. Eustochios] *ἤχθη πρὸς τὸν ἡγεμόνα καὶ τὸν Χριστὸν ὁμολογήσας ἀνηρτήθη ἐπὶ τοῦ ξύλου καὶ ἐξέσθη σφοδρῶς· … Ὁ δὲ ἅγιος Εὐστόχιος τὴν κεφαλὴν ἀπετμήθη…*; [cf. *Menol* 508D: …*Καὶ τέλος ἅπαντες τὰς κεφαλὰς ἀπετμήθησαν.*] – **69-73** cf. *SynaxEC* 766: 31-45: …*τὸν Χριστὸν ὁμολογήσαντες, πρῶτον μὲν κρεμᾶται <ἡ ἁγία Πρόβη καὶ κατὰ τῶν μαστῶν δεινῶς ξέεται· καὶ μετὰ τοῦτο κρεμᾶται> ἡ Λουλοὺς καὶ Οὐρβανὸς ἀπέναντι ἀλλήλων καὶ κατὰ τῶν παρειῶν ξέονται· … Τὰ δὲ νήπια κατενεχθέντα χαλκῷ προσεδέθησαν τροχῷ· ἐκεῖθεν δὲ ἀβλαβῆ διαφυλαχθέντα, παραδόξως τοῦ τροχοῦ τῆς κινήσεως πανσαμένου καὶ τοῦ πυρὸς σβεσθέντος, ξυρῶνται τὰς κεφαλὰς καὶ ἥλοις διελαύνονται· καὶ αἱ μὲν θήλειαι τέμνονται τοὺς μαστούς, ὁ δὲ Οὐρβανὸς σπαθίζεται…*

---

LHIa

**63** συμπλακεῖς L – **67** τεμνόμενός σου H

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Τοὺς σοὺς ἀνυμνῶ μάρτυρας, Θεοῦ Λόγε· Ἰωσήφ.*

*Ἰωσήφ.*

*Ὠιδὴ α′. Ἦχος δ′. Χοροὶ Ἰσραὴλ*
*ἀνίκμοις ποσὶν*

**Τ**ῷ θείῳ φωτὶ
λαμπόμενοι
καὶ ἐν οὐρανοῖς
τῷ Χριστῷ ἀεὶ παριστάμενοι,
ἐπὶ γῆς τοὺς τελοῦντας
τὴν φωτοειδῆ,
μάρτυρες, ὑμῶν μνήμην
πλήσατε φωτὸς ἀιδίου,
λύοντες τῶν παθῶν ἡμῶν
σκότος, μακάριοι.

**Ὁ**δὸν εὐθεῖαν
ζητοῦντες εὑρεῖν
τὴν εἰς οὐρανούς,
ἀθλοφόροι, εἰσάγουσαν,
ἐμυήθητε ταύτην
ταῖς τοῦ ἀποστόλου
διδαχαῖς Ἀνδρέου,
καὶ καταλιπόντες τὴν πλάνην,
μάρτυρες, ᾠκειώθητε
τῷ θείῳ Πνεύματι.

---

**89-91** cf. notationem ad vv. 21-23

---

LHIa

**Tit. kan**. ετ(ε)ρ(ος) κανῶν εἰς ἀς γίους μάρτυ(ρας) :- οὗ ἡ ἀκροστ(ι)χ(ίς)· τους σοῦς ἀνυμνῶ μάρτυ(ρας) θεοῦ λόγε· ιωσήφ Ia – κανῶν L – φέρων ἀκροστιχίδα τήνδε : οὗ ἡ ἀκρο(στιχὶς) H – Ἰωσήφ[1] om. H – Ἰωσήφ[2] in marg. LH : deest Ia

heirm. α′ EE 102, nr 144, Cosmae monachi

**75** θεῖω L – **78** τῷ Χριστῷ om. H – **80** φωτοειδὴ L – **81** ὑμῶν : ὑμνω Ia – **82** ἀϊδίου L – **83** λύονται L : λύοντε Ia – **93** οἰκειώθητε L – **94** θεῖω L

Ὑπάρχων φωτὸς
ἀνάπλεος
οἵαπερ ἀστὴρ
ὡς ἀληθῶς Ἀνδρέας ὁ ἀοίδιμος,
πανολβίῳ μεθέξει,
μάρτυρες, ἐξήστραψεν
ὑμᾶς ὥσπερ ἀκτῖνας,
σκότος ἐλαυνούσας ἀπάτης
πᾶσάν τε τὴν ὑφήλιον
φωτὸς πληρώσας ἀεί.

*Θεοτοκίον.*

Σαρκὸς φανεὶς
ὁμοιώματι
ὁ ὑπερφερὴς
f. 86v ἐξ ἀχράντων / λαγόνων σου,
ἀφθαρσίαν ἐνδύει
τὴν καταφθαρεῖσαν
τῶν βροτῶν φύσιν, παρθένε,
καὶ πρὸς τὸ ἀρχαῖον ἀνάγει,
ἄχραντε παμμακάριστε,
πάλιν ἀξίωμα.

---

**95-98** cf. notationem ad vv. 21-23

---

LHIa

**96** ἀνάπλεως HIa – **97** οἴαπερ L – **98** ὡς ἀληθῶς om. Ia – **100** σκότος ante μάρτυρες add. Ia– **101** ἀκτίνας L – **103** πᾶσαν τε LIa : πᾶσαν τὲ H – **103-104** τὴν ὑφήλιον - ἀεί : τὴν ἀσέβειαν θεομακάριστοι LIa – **108** ἐξαχράντων L – **112** ἀρχαίον L

*Ὠιδὴ γʹ. Τόξον δυνατῶν ἠσθένησεν*

**Σ**τέργειν τὸν Χριστὸν ἑλόμενοι,
τούτου τοῖς βαρβάροις
τὸ σεβάσμιον ὄνομα
κατηγγείλατε, ἀθλοφόροι,
συνεργείᾳ θείου Πνεύματος.

**Ὅ**λῳ τῷ νοῒ νευρούμενοι,
μάρτυρες, τῷ λόγῳ
τῆς ἀλογίας ἐρρύσασθε
τοὺς τῇ πλάνῃ δεδουλωμένους,
θεῖοι κήρυκες γενόμενοι.

**Ὕ**βριν τὸ σεπτὸν ἡγούμενος
κήρυγμα ὁ πλάνος,
τοὺς ἀπλανεῖς χριστομάρτυρας
πρὸ βημάτων ὡς κατακρίτους
ὁ κατάκριτος παρίστησιν.

---

**115-119** et **120-124** cf. Menol 269: *Καὶ διδάσκοντες ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, πολλοὺς τῶν βαρβάρων ἐπιστρέφοντες ἐπὶ τὴν ὀρθὴν πίστιν, ἐβάπτιζον. Διὰ τοῦτο δὲ κρατηθέντες παρὰ τοῦ τῶν Βαρβάρων ἄρχοντος, καὶ πολλὰ ἀναγκασθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς εἰδώλοις, οὐκ ἐπείσθησαν.* Cf. PIRP 215:26-216:4: *…πολλοὺς τῶν βαρβάρων ἐπέστρεψαν εἰς τὴν τοῦ Χριστοῦ πίστιν ἐκ τῆς τῶν εἰδώλων πλάνης. Παραστάντες τοιγαροῦν τῷ ἄρχοντι τῶν βαρβάτων καὶ πολλαῖς θωπείαις καὶ ἀπειλαῖς βουληθέντος* <*τούτου*> *δελεάσαι αὐτούς, οὐκ εἶξαν τῇ ἀσεβείᾳ αὐτοῦ…* – **125-129** cf. Menol 269: *…πολλοὺς τῶν βαρβάρων … ἐβάπτιζον. Διὰ τοῦτο δὲ κρατηθεντες παρὰ τοῦ τῶν Βαρβάρων ἄρχοντος, καὶ πολλὰ ἀναγκασθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς εἰδώλοις, ουκ ἐπείσθησαν.*

---

LHIa

heirm. γʹ EE 102, nr 144, Cosmae monachi

**115** ἐλόμενοι L – **119** συνεργεῖα L – **120** νευρούμενοι H : ἑνούμενοι LIa – **122** ἐρύσασθε L : ἐρρύσθημεν Ia – **128** προβημάτων L

*Θεοτοκίον.*

**Σ**ῶσον τὴν ψυχήν μου, πάναγνε,
τὴν ἐν τῷ πελάγει
τῶν δεινῶν κινδυνεύουσαν
καὶ φθαρεῖσαν τῇ ἁμαρτίᾳ
καὶ τῷ πλάνῳ ὑποκύψασαν.

*Ὠιδὴ δʹ. Δι᾽ ἀγάπησιν, οἰκτίρμον,*
*τῆς σῆς εἰκό(νος)*

**Ἀ**πειλαῖς ὑμᾶς ὁ πλάνος
ὑπολαμβάνων
καταπτοεῖν, ἡττήθη
τῇ ὑμῶν ἀδιστάκτῳ
πίστει, καρτερώτατοι,
καὶ γέλωτα ὤφλησεν.

**Ν**ενοθευμένῃ θρησκείᾳ
μὴ προσελθόντες,
μὴ τὰ κτιστὰ τοῦ κτίστου
προτιμήσαντες ὅλως,
πόνοις παρεδώκατε
τὰ σώματα, μάρτυρες.

**Ὑ**φηπλωμένων ὀργάνων
κολαστηρίων
καὶ ἀπειλῶν παντοίων
ἀπηνῶς πεμπομένων,
οἱ μεγαλομάρτυρες
ἀνδρείως ἠρίστευσαν.

---

**135-139** cf. notationem ad vv. 125-129

---

LHIa

heirm. δʹ EE 97, nr 138, Joannis monachi

**140** ὤφθησεν Ia – **141** θρησκεῖα L – **144** προτιμήσαντος Ia – **147** ὀργάνων L – **152** ἠρίστευσας Ia

Μεμυημένοι τὰ θεῖα
οἱ ἀθλοφόροι,
τὸ τῶν ἀθέων σέβας
κατεπάτησαν πίστει
καὶ τὸν ἐθελούσιον
ὑπέστησαν θάνατον.

*Θεοτοκίον.*

**Ν**οῦς οὐράνιος οὐ βρότειος
ἑρμηνεύει
f. 87r τὸ ὑπὲρ νοῦν, / παρθένε,
τῆς λοχείας σου βάθος·
σάρκα γὰρ γενόμενον
τὸν κτίστην ἐκύησας.

*Ὠιδὴ ε΄. Τὸν φωτισμόν σου, Κύριε*

**Ὡ**ς ἀληθείας μάρτυρες
τυπτόμενοι σφοδρῶς
καὶ ταῖς αἰκείαις βαλλόμενοι δεινῶς,
ἔχαιρον Χριστὸν
ὁμολογοῦντες, τῷ Πατρὶ συννοούμενον.

**Μ**έλη προδόντες τέμνεσθαι
προθύμῳ λογισμῷ,
Ἰννᾶ θεόφρον, Πιννᾶ τε καὶ Ῥιμμᾶ,
θείων μιμηταὶ
παθῶν ἐν πίστει ἀληθῶς ἀνεδείχθητε.

---

LHIa

**158** ὑπέστητε H – **159** οὐράνιος : οὐδὲ οὐράνιος H : ουκου(ρά)νιος Ia – **160** ἑρμηνεὐει L – **162** λοχεῖας L – **163** γὰρ om. Ia – **164** κτίστιν L

heirm. ε΄ EE 101, nr 143, Cosmae monachi

vv. **170-174** ante vv. **165-169** in Ia – **165** ἀληθεῖας L – **170** τέμνεσθε Ia – **172** ἱννὰ L – πιννὰ τὲ L – ῥιμμὰ L – **173** θεῖων L

**Α**ἱμάτων ταῖς προσχύσεσιν
ἠρδεύσατε τὴν γῆν
καὶ χλαῖναν θείαν φοινίξαντες ταύτην,
θεῖοι ἀθληταί,
λαμπροφοροῦντες τῷ Κυρίῳ παρίστασθε.

*Θεοτοκίον.*

**Ῥ**ητορευόντων γλῶσσαι σε
οὐ δύνανται ὑμνεῖν
ἀρρήτῳ λόγῳ, ἐπείπερ, παρθένε,
ἔσχες τοκετόν,
υἱοὺς τοῦ κτίστου τοὺς ἀνθρώπους δεικνύοντα.

*Ὠιδὴ στ΄. Ἐβόησεν*
*προτυπῶν τὴν ταφὴν (τὴν τριήμερον)*

**Τ**οὺς ῥύακας
τῆς ἀπάτης τῇ θάλψει ξηράναντες,
θεοφόροι, τοῦ πανσόφου
καὶ θείου κηρύγματος,
πνιγμονῇ ὑδάτων
τὸ μακάριον τέλος ἐδέξασθε.

---

**180-183** cf. *Akathistos Hymn*, ιζ΄:1-4 (ed. Trypanis, p. 36): *Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ σοί, θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς καὶ παρθένος μένεις καὶ τεκεῖν ἴσχυσας…*

---

**189-202** cf. Menol 269-272: *Καὶ γενομένου χειμῶνος βαρυτάτου, καὶ τῶν ποταμῶν παγέντων ἀπὸ τοῦ κρύους, ὡς καὶ ἐπάνω τοῦ κρυστάλλου περιπατεῖν μὴ μόνον ἀνθρώπους, ἀλλὰ δέχεσθαι καὶ τοὺς ἵππους καὶ τὰς ἁμάξας, πήξαντες ἐπάνω τοῦ κρυστάλλου ξύλα μεγάλα, ὡς αὐτόῤῥιζα δένδρα, προσέδησαν ἐκεῖ τοὺς ἁγίους. Καὶ τοῦ ὕδατος κυματίζοντος, καὶ κρύσταλλα ἐπαυξάνοντος κατ᾽ ὀλίγον, καὶ φθάσαντος ἕως τοῦ τραχήλου τῶν ἁγίων, ἀπὸ τῆς πολλῆς δριμύτητος καὶ τῆς ὀδύνης τοῦ κρύους, παρέδωκαν τὰς μακαρίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ.* Cf. PIRP 216:5-9: *Καὶ χειμῶνος ὄντος βαρυτάτου καὶ τῶν ποταμῶν κρυσταλλωθέντων καὶ ἱππηλάτων πεδίων γεγονότων,* → → →

---

LHIa

**176** ἠρδεύσατε L – γὴν L – **177** θεῖαν L : θείων H – **182** ἐπεῖπερ L – **188** θεῖου L – **189** πνιγμονὴ L

**Ὑ**ψούμενοι
καὶ δεσμούμενοι ξύλῳ, πανεύφημοι,
ποταμίοις ὑπεβλήθητε
ῥείθροις, πηγνύμενοι
καὶ τῇ θείᾳ θέρμῃ
τὸν κρυμὸν τῆς κακίας ἐξαίροντες.

**Ῥ**ηγνύμενοι
τὰ πανάγια σώματα, μάρτυρες,
τῷ βιαίῳ παγετῷ,
ἐν εἰρήνῃ τὰ πνεύματα
τοῦ Θεοῦ εἰς χεῖρας
ἐναπέθεσθε, δόξης πληρούμενοι.

*Θεοτοκίον.*

**Ἁ**γίασον
τὴν ψυχήν μου, ἁγία θεόνυμφε,
ἡ τεκοῦσα τὸν πανάγιον
Λόγον, Χριστὸν τὸν Θεόν,
τὸν τὴν πᾶσαν κτίσιν
ἐπιγνώσει αὐτοῦ ἁγιάζοντα.

---

→ *στάντες εἰς ἕνα τούτων ὄρθια ξύλα ὡς αὐτόριζα, ἐκεῖ τοὺς ἁγίους ἐδέσμευσαν· τοῦ δὲ ὕδατος ἕως τοῦ αὐχένος αὐτῶν φθάσαντος, οὕτως ἀπέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ…* Cf. *SynaxEC* 407:24-34 et MV V, 157: *Οὗτοι, χώρας τινὸς τῆς κατ᾽ Ἄρκτον ὑπάρχοντες, παρὰ τῶν εἰδωλομανούντων βαρβάρων συσχεθέντες, τῷ τε τῆς χώρας παρέστησαν ἄρχοντι. Ὅς, ὁμολογήσαντας τὸν Χριστόν, κατεδίκασε διὰ κρύους τελειωθῆναι. Δεσμοῦνται οὖν ξύλοις ὀρθίοις, μέσον παγεῖσι τοῦ ποταμοῦ, ὥρᾳ χειμῶνος, ὅτε τῷ ψύχει διαφέρον ἦν οὐδὲν τῶν ἀκινήτων σωμάτων, πεπηγὸς τὸ ὀλισθηρὸν τοῦ ὕδατος, καὶ ἀκίνητον μεῖναν· κἂν τούτῳ τὸ τοῦ βίου δέχονται πέρας* (MV add.: *τὰς μακαρίας αὐτῶν παραδόντες ψυχὰς εἰς χεῖρας Θεοῦ*).

---

LHIa

heirm. στʹ EE 125, nr 172

**194** ῥεῖθροις L – **195** καὶ τῇ θείᾳ θέρμῃ : κ(αὶ) τῇ θέρμῃ πάσης Ia – θεῖα L – **196** ἀκακίας Ia

*Ὠιδὴ ζʹ. Ἀβραμιαῖοι ποτὲ*
*ἐν Βαβυλῶ(νι παῖδες)*

**Σ**ταγόσι λόγων ὑμῶν
καὶ ἱερῶν αἱμάτων
πυρὰν κακίας κατεσβέσατε,
βοῶντες πανεύφημοι·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

f. 87v / **Θ**ωρακισθέντες πίστιν,
ἐλπίδα καὶ ἀγάπην,
δαιμόνων στῖφος συνεκόψατε,
κραυγάζοντες μάρτυρες·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

**Ἐ**ν ὁμονοίᾳ ψυχῆς
Ἰννᾶς, Πιννᾶς, Ῥιμμᾶς τε,
τοὺς θείους ἄθλους διανύσαντες,
συμφώνως κραυγάζουσιν·
«ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

---

**215-216** cf. 1 Thes. 5:8

---

**213-214, 219-220, 225-226** Papadopoulos-Kerameus in *BZ* 14 (1905) 523 [cf. Dan 3:52]

---

LHIa

heirm. ζʹ ed. Papadopoulos-Kerameus in *BZ* 14 (1905) 523; cf. etiam heirm. ed. in EE 102, nr. 144, Kosmae monachi, sed tantum priores duo versus congruentes sunt

**213-214** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέ)ρων ἡμ(ῶν Θεὸς εὐλογητὸς εἶ) H : ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς εὐλο(γητὸς εἶ) Ia – **217** διεκόψατε Ia – **219-220** ο τ(ῶν – εἶ) L : ὁ τῶν π(ατέ)ρων ἡμῶν θ(εὸ)ς εὐ(λ)ο(γητὸς) εἶ H : ὁ τῶν π(ατέ)ρων (ἡμῶν – εἶ) Ia – **222** ἰννὰς L – πιννὰς L – ῥιμμὰς τὲ L – **223** θεῖους L – **224** συμφῶνως L – **226** θ(εὸ)ς εὐ(λ)ο(γητὸς εἶ) L : θ(εὸ)ς εὐ(λ)ο(γητὸς) εἶ H : θ(εὸ)ς εὐλογητ(ὸς εἶ) Ia

**Ο**ἱ τῆς Τριάδος σεπτοὶ
καὶ θαυμαστοὶ ὁπλῖται
θεολογοῦντες ταύτην ἄτμητον,
ἀσύγχυτον, ἄτρεπτον,
τὸν ἱερὸν ἀγῶνα
ἐτέλεσαν νομίμως.

*Θεοτοκίον.*

**Ὑ**πὲρ ὑμῶν τὸν ἐκ σοῦ
ἀποτεχθέντα Λόγον,
ἁγνή, δυσώπει τῶν τιμώντων σε,
ὅπως ἡμᾶς ῥύσηται
τῆς αἰωνίου τε
καὶ χαλεπῆς γεέννης.

*Ὠιδὴ η΄. Τὸν ἐν {τῷ} σταυρῷ σαρκὶ προσηλωθ(έντα)*

**Λ**όγοις ἱεροῖς τοὺς ἀνομοῦντας
πρὸς τὴν ἐπίγνωσιν Χριστοῦ
ἠγρεύσατε βοῶντες·
«παῖδες, ὑπερυψοῦτε
Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας».

---

**237-238** cf. Matth 23:33 – **242-243** EE 95, nr 134, vv. 40-41

---

**229-230** cf. ConCon, ch. 13, p. 598: *Εἴ τις οὐχ ὁμολογεῖ ἐκ δύο φύσεων, τουτέστι θεότητός τε καὶ ἀνθρωπότητος, ἕνα Χριστόν, ἕνα υἱόν, «μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην» κατὰ τὸν ἐν ἁγίοις Κύριλλον ἀσυγχύτως, ἀτρέπτως, ἀναλλοιώτως ἤγουν μίαν ὑπόστασιν σύνθετον, ὅπερ ἐστὶν αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, «εἷς ὢν τῆς ἁγίας ὁμοουσίου τριάδος», ὁ τοιοῦτος ἀνάθεμα ἔστω.* – **239-241** cf. notationem ad vv. 115-119 et 120-124

---

LHIa

**227-232** om. Ia – **233** Ὑπερ L – **235** τιμόντων L – **237** τὲ L

heirm. η΄ EE 95, nr 134, Germani patriarchae

**241** ἡγρεύσατε L – **241-243** ἠγρεύσατε - αἰῶνας : ἠγρεύσατε σὺν τούτοις· ψάλλ(ον)τες κ(αὶ) ὑμνοῦντες αὐτόν· θεῖοι μάρτυρες θ(εὸ)ν ἁπάντων Ia – **242-243** παῖδ(ες) ευ(λογεῖτε – αἰῶνας) L

**Ο**ἷα φωταυγεῖς ὑμᾶς ἀστέρας
ὁ ἱερώτατος ποιμὴν
ὑδάτων ἀνιμᾶται,
θείᾳ παραδοὺς ὄντως ταφῇ,
ταῖς προστάξεσιν ὑμῶν πειθήσας.

**Γ**ῇ μὲν τῇ ταφῇ καθηγιάσθη
τῶν ἱερῶν ὑμῶν, σοφοί,
λειψάνων, οὐρανὸς δὲ
ὅλως τῇ ἀνόδῳ τῶν ψυχῶν,
παναοίδιμοι, κατελαμπρύνθη.

*Θεοτοκίον.*

**Ἔ**χουσα, ἁγνὴ εὐλογημένη,
τὸ συμπαθὲς ὡς ἀγαθή,
σπλαγχνίσθητι καὶ ῥῦσαι
πάσης ἀπειλῆς τὸν σὸν λαὸν
καὶ κακώσεως καὶ ἁμαρτίας.

*Ὠιδὴ θ′. Ὁ τόκος σου ἄφθορος ἐδείχθη*

**Ἰ**δεῖν ἠξιώθητε ὡς θέμις
τὴν δόξαν Κυρίου, ἀθλοφόροι·
δι᾽ αὐτὸν γὰρ τὸ σῶμα
παρεδώκατε προθύμως εἰς κινδύνους
καὶ ἀλγηδόνας
καὶ βασάνους, ἀξιάγαστοι.

---

**244-248** cf. PIRP, 216:8-14: *…οὕτως ἀπέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ· ὧν τὰ λείψανα τότε μέν τινες πιστοὶ ἐκήδευσαν. Ὕστερον δὲ Γοδδᾶς ὁ ἐπίσκοπος ἀναλεξάμενος καὶ ἐπὶ τὸν ἴδιον ὦμον βαστάξας κατέθετο ἐν αὐτῇ τῇ χώρᾳ μετὰ ἑπτὰ ἔτη τῆς ἀθλήσεως αὐτῶν. Καὶ μετὰ ταῦτα δι᾽ ἀποκαλύψεως οἱ ἅγιοι ἔπεισαν τὸν αὐτὸν Γοδδᾶν τὸν ἐπίσκοπον μετενέγκαι αὐτοὺς εἰς χωρίον λεγόμενον Ἄλισκον, λιμένα ὄντα…*

---

LHIa

**244** ὑμεῖς H – **246** ἀνειμᾶται L – **247** θεῖα L – ταφὴ L – **256** ῥύσαι L – **257** ἀπειλὴς L

heirm. θ′ EE 102, nr 144, Cosmae monachi

**261** διαὐτὸν L – **264** ἀξιάγαστε Ia

**Ὡ**ς κλήματα θεῖα τῆς ἀμπέλου
ἀθλήσεως βότρυας ἐμφρόνως
προσηνέγκατε, οἶνον
ἀποστάζοντα ἐνθέου καρτερίας,
πάντων καρδίας,
f. 88r θεοφόροι, τὸν / εὐφραίνοντα.

**Σ**υμφώνως Ἰννᾶν τὸν ἀθλοφόρον,
Πιννᾶν καὶ Ῥιμμᾶν ἀνευφημοῦμεν,
ταῖς αὐτῶν θείαις μνείαις
κοινωνεῖν βουλόμενοι πίστει ἐνθέῳ,
ὅπως ταῖς τούτων
ἱκεσίαις φωτισθείημεν.

**Ἡ**λίου αὐγάσματα ἀύλου
ἀμάραντα ἄνθη παραδείσου
τῶν ἐν ζάλῃ λιμένες, ἀθληταὶ
πανεύφημοι, μνείαν ποιεῖσθε
πάντων τῶν πίστει
μεμνημένων ἡμῶν πάντοτε.

*Θεοτοκίον.*

**Φ**ανεῖσα ἀγγέλων ἀνωτέρα
ὡς πάντων τεκοῦσα τὸν σωτῆρα,
παναγία παρθένε,
σῶσον οἴκτιρον λαὸν ἡμαρτηκότα
καὶ ἐν τῇ σκέπῃ
τῶν πτερύγων σου προστρέχοντα.

---

**265-267** cf. Ioh 15:5

---

LHIa

**271** Συμφῶνως L – ἰννὰν L – ἀθλοφόρον : θεοφόρον Ia – **272** πιννὰν L – ῥιμμὰν L – **273** θεῖαις L – μνεῖαις L – **277-282** om. Ia – **277** ἀΰλου L – **280** μνεῖαν L

*Ἕτερος κανὼν εἰς τὸν ἅγιον μάρτυρα Εὐστόχιον καὶ τοὺς σὺν αὐτῷ, φέρων ἀκροστιχίδα τήνδε· Σεπτὴν ἐπαινῶ μαρτύρων νῦν πεντάδα· <Ἰωσήφ>.*

*Ὠιδὴ α′. Ἦχος πλ. β′. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ*

289-294 **Σ**τεφηφοροῦντες τῷ βήματι ………….. = AHG X, XI, 1-6.
295-300 **Ε**ὐστοχωτάτως τῇ πίστει …………….. = AHG X, XI, 7-12.
301-306 **Π**ολυειδεῖς, μάρτυς, πόνους ………… = AHG X, XI, 13-28.
307-312 **Τ**οὺς ἀθλητὰς τοῦ Κυρίου …………... = AHG X, XI, 19-24.
313-318 *Θεοτ.* **Ἡ** τὸν ἀχώρητον Λόγον …
f. 88v … χωρήσασα / ἀπολύτρωσαι …
………………………………….. = AHG X, XI, 25-30.

*Ὠιδὴ γ′. Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
*Κύριε ὁ Θεὸς μου*

319-325 **Ν**οῒ κατεῖδες καθαρῷ ……………….. = AHG X, XI, 31-37.
326-332 **Ε**ὐτόνως, μάρτυς, τοὺς ξεσμοὺς …… = AHG X, XI, 38-44.
333-339 **Π**ολλὰς βασάνους ἐνεγκῶν ………... = AHG X, XI, 45-51.
340-346 *Θεοτ.* **Ἀ**φλέκτως ἤνεγκας τὸ πῦρ ….. = AHG X, XI, 52-58.

*Ὠιδὴ δ′. Χριστός μου δύναμις*

347-353 **Ἰ**στίῳ μάρτυρες ……………………… = AHG X, XI, 59-65.
354-360 **Ν**οὸς στερρότητι …………………….. = AHG X, XI, 66-72.
361-367 **Ὡ**ς ἄλλου πάσχοντος ………………. = AHG X, XI, 73-79.
368-374 **Μ**αρτύρων στίγμασι ………………... = AHG X, XI, 80-86.
375-381 *Θεοτ.* **Ἁ**γία δέσποινα …
f. 89r … ἀνυμνοῦν/τας …………… = AHG X, XI, 87-93.

*Ὠιδὴ ε′. Τῷ θείῳ φέγγει σου, ἀγαθὲ*

382-388 **Ῥ**ήμασι θείοις τῷ δυσσεβεῖ ……….. = AHG X, XI, 94-100.
389-395 **Τ**ὰς αἰωνίους ἀποσκοπῶν ……….. = AHG X, XI, 101-107.
396-402 **Ὑ**πὸ τῆς χάριτος κρατυνθεὶς ……. = AHG X, XI, 108-114.
403-409 *Θεοτ.* **Ῥ**ῦσαι τοὺς δούλους σου ἀπειλῆς …
…………………………………... = AHG X, XI, 115-121.

*Ὠιδὴ στʹ. Τοῦ βίου τὴν θάλασσαν*

410-415 **Ὡ**ς ῥόδα ἀμάραντα ……………….. = AHG X, XI, 122-128.
416-421 **Ν**οὸς ἀνδρειότητι …………………. = AHG X, XI, 129-135.
422-427 **Ν**αὸς ἐχρηματίσας ……………….. = AHG X, XI, 136-142.
428-433 *Θεοτ.* **Ὑ**μνοῦμεν, πανύμνητε …... = AHG X, XI, 143-149.

*Ὠιδὴ ζʹ. Δροσοβόλον μὲν τὴν κ(ά)μ(ινον εἰργάσατο)*

f. 89v 434-440 / **Ν**όμους θείους συνετήρησας …... = AHG X, XI, 150-156.
441-447 **Π**αρετάξασθε πρὸς πάσας ………. = AHG X, XI, 157-163.
448-454 **Ἐ**παινέσωμεν Εὐστόχιον ………… = AHG X, XI, 164-170.
455-461 *Θεοτ.* **Ν**εκρωθέντα με, παρθένε … = AHG X, XI, 171-177.

*Ὠιδὴ ηʹ. Ἐκ φλογὸς τοῖς ὁσίοις*
*δρόσον ἐπήγα(σας)*

462-469 **Τ**ῶν ῥημάτων τὰ βέλη …………..... = AHG X, XI, 178-185.
470-477 **Ἀ**ναρτήσει ἀδίκῳ …………………. = AHG X, XI, 186-193.
478-485 **Δ**εσμευθέντες τῷ πόθῳ ………….. = AHG X, XI, 194-201.
486-493 *Θεοτ.* **Ἀ**πορρήτῳ ἑνώσει …………. = AHG X, XI, 202-209.

f. 90r / *Ὠιδὴ θʹ. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

494-500 **Ἰ**σχὺς ἀφῄρηται τοῦ ἀλάστορος … = AHG X, XI, 210-217.
501-507 **Ὡ**ς φῶς ἀστέρες ὡς φαεινότατοι …
…………………………………… = AHG X, XI, 218-225.
508-514 **Σ**υνών, Εὐστόχιε, ἀξιάγαστε …….. = AHG X, XI, 226-233.
515-521 **Ἡ**μῶν, ἁγία πεντάς, μνημόνευε … = AHG X, XI, 234-241.
522-528 *Θεοτ.* **Φ**ωνὴν προσάγωμεν χαριστήριον …
……………………………………. = AHG X, XI, 242-249.

## 21
## In s. Iulianum Anazarbenum martyrem in Cilicia

*† Μηνὶ τῷ αὐτῷ κα′ τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ.*

*Κάθισμα.*
*Ἦχος α′. Πρὸς τὸ Τὸν τάφον σου, Σωτήρ, στρατιῶτ(αι τηροῦντες)*

1-11 **Ὑ**δάτων πνιγμονῇ τὸ μακάριον τέλος ……… = MV X, 71.

*Ἄλλον.*
*Ἦχος πλ. δ′. Πρὸς τὸ Τὸ προσταχθὲν μυστικῶς*

f. 90v 12-25 / **Τ**ὴν βασιλείαν τοῦ Θεοῦ ἐπιποθήσας … ………………………….. = AHG X, XIII, p. 147, app.

*Τὸ κονδάκιον.*
*Ἦχος β′. Πρὸς τὸ Τὴν ἐν πρεσβείαις*

26-34 **Τ**ῆς εὐσεβείας ἀήττητον στρατιώτην … ……… = TRM II σιστ-σιζ′; Laur 120; AmphKond 123.

*<Ὁ οἶκος.>*

**Ἐ**ν τῇ ὁδῷ Κυρίου ἐκ βρέφους
διοδεύσας, τρισμάκαρ,
καὶ αὐτοῦ εὐσεβῶς
τοῖς μαρτυρίοις ἐπόθησας,
τύπον σταυροῦ ἐπὶ τῶν ὤμων,
Ἰουλιανὲ θεόφρον,
προθύμως ἄρας,

---

**Tit.** μεγ(α)λ(ο)μάρτυρος Ia

**12-25** deest HIa – **26-48** deest H – **35-48** ed. in AmphKond, 123; incipit ed. in EfstrTam, 50 (1951) 345 (ex codd. Paris. gr. (???), Athon. Laurae Γ28, f. 169v; Gb; Gc; Gd; Ge; Athon. Laurae Δ42; Athon. Laurae Θ3; Athon. Laurae Κ182) – **37** αὐτὸν AmphKond – **38** τῆς μυστηρίοις Ia – **39-41** τύπον σταυροῦ. ἐπὶ ὤμων ἄρας. ἰουλιανὲ θεόφρον. προθύμως ἔστης AmphKond – **39** ὤμων L – **40** ἰουλιανὲ L

πλάνην δεινὴν
τῆς εἰδωλομανίας διέλυσας,
συντρίψας καὶ κατεάξας
τῶν ἐχθρῶν μηχανὰς καὶ τὰ ἔνεδρα·
διὸ ἐν πίστει προστρέχομεν
σοῦ τῇ σκέπῃ βοῶντες, πανόλβιε.

*Ἀνακλώμενον*: Ἱκέτευε Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

*Στιχηρά.*
*Ἦχος δ΄. Πρὸς τὸ Ὡς γενναῖον ἐν μάρτυσιν*

**Φ**ωταυγῆ σε ὡς ἥλιον .............................. = MV X, 70.
**Κ**αὶ τυπτόμενος μάστιξι …
f. 91r … ποντούμενος / .............................. = MV X, 70.
**Θ**αλαττίων ἐκ κόλπων σε ..................... = MV X, 70-71.

*Ἄλλα.*
*Ἦχος α΄. Πρὸς τὸ Ὅσιε πάτερ (θεοφόρε Θεοδόσιε)*

**Θ**είαις μελέταις ὀχυρώσας τὴν καρδίαν σου,
τὸ στάδιον ὑπῆλθες τὸ τῆς ἀθλήσεως,
τὴν θείαν συμμαχίαν εἰς ἀρωγὴν ἐπικαλούμενος,
Ἰουλιανέ, καὶ καθάπερ δρόσον
τὰς τῶν πληγῶν νιφάδας
καθυπεδέξω ἐν τῇ σαρκὶ
καὶ τοὺς ἀσάρκους καθεῖλες πάντας ἐχθρούς·

---

**84** cf. Latyšev II, 84: …*«Οὐ πτοοῦμαι ταύτας, ἡγεμών», ὁ ἅγιος εἶπεν, «οὔτε μὴν ὃν παρέλαβον παιδιόθεν νόμον ἀθετήσω τὸ σύνολον, κἂν εἰ πυρί με παραδῷς καὶ βασάνων ἄλλων ἰδέαις· ἔχω γὰρ τὸν ἐνδυναμοῦντά με Χριστόν…»…*

---

LHIa

**43** διήνυσας Ia – **45** μιχανὰς AmphKond – **46** προσέρχομε AmphKond – **46-47** διὸ κ(ύριο)ν ὑπὲρ πάντων ἡμῶν πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν Ia – **47** τὸν σκεπειν βοῶντος πανολβιε AmphKond – **48** rubr. in L : om. Ia : <Ἀνακλώμενον:> ἱκέτευε (Κυρίῳ-ἡμῶν) AmphKond – Ἀν(ακλώμενον) L – **49-81** Φωταυγῆ - χάριτος deest Ia
heirm. stich. MV V, 100 – **82-93** deest Ia – **82** Θεῖαις L - όχυρῶσας L – **84** θεῖαν L – **86** νηφάδας L – **87** καθ᾽ὑπεδέξω L

ὅθεν ἀθλήσαντα νομίμως σε, παμμάκαρ,
νίκης κατέστεψεν στεφάνοις ὁ δεσπότης·
ᾧ παριστάμενος ἀπαύστως καθικέτευε
δωρηθῆναι τῇ οἰκουμένῃ
ὁμονοίας εἰρήνην καὶ μέγα ἔλεος.

*Ὅμοιον.*

**Ἐ**ν τῇ θαλάσσῃ αἱ ὁδοί σου καὶ αἱ τρίβοι σου
ἐν ὕδατι, παμμάκαρ, καὶ οὐκ ἐγνώσθη σου
τὰ ἴχνη ὡς προέφη πάλαι Δαβίδ· σὺ γὰρ τὴν ἄλυπον
ποθήσας ζωὴν καὶ τὴν δι᾿ αἰῶνος
ἀποκειμένην δόξαν
τὰς ἀτιμίας, τοὺς αἰκισμούς,
τὰς τῆς σαρκὸς ἀλγηδόνας ὥσπερ τρυφὴν
χαίρων λελόγισαι, ψυχῇ ἀνδρειοτάτη·
ὅθεν ἀπείληφας τὰς θείας ἀντιδόσεις,
Χριστῷ δεόμενος, Χριστῷ πρεσβεύων πάντοτε
δωρηθῆναι τῇ οἰκουμένῃ
ὁμονοίας εἰρήνην καὶ μέγα ἔλεος.

---

**89-90** cf. 2 Tim 4:8 – **94-96** cf. Ps 76:20

---

LHIa

**91** ὦ L – **93** μ(έ)γ(α ἔλεος) L : μέγα ἔλε(ος) H – **94-105** post exaposteilaria in Ia – **94** αἱ[1] : αἰ L – αἱ[2] : αἰ L – **95** ὕδασιν H : ὕδασι Ia – οὐκεγνώσθη σου L : οὐκεγνώσθησαν Ia – **96** ὡς προέφη : ὥσπερ ἔφη H – **97** διαἰῶνος L – **101** ψυχὴ L – ἀνδρειωτάτη L – **102** θεῖας L – χ(ριστο)ῦ H – **105** ὁμόνοιαν Ia – καὶ μέγα ἔλεος om. Ia

Post vv. 94-105 H hoc sticheron add.: *Ἄλλον. Ἦχος πλ. β′. Πρὸς τὸ Ὅλην ἀποθέμενοι.* Τὸν φύσει φιλάνθρωπον καὶ λυτρωτὴν ἱκετεύων… (=Appendix IX, vv. 1-16).

Post stichera Ia hoc doxastikon add.: *Εἰς τ(ὸν) στίχ(ον). Τῆς η′ ἤχου. Δο(ξαστικ)ον ἦχ(ος) πλ. β′.* Δεῦτε, φιλομάρτυρες, τὸν τοῦ Χριστοῦ στρατιώτην… (=Appendix IX, vv. 17-33).

*Ὁ κανών.*

*Θεοφάνους.*

*Ὠιδὴ α′. Ἦχος α′. Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

**Μ**άρτυς ἀθλοφόρε τοῦ Χριστοῦ,
ταῖς οὐρανίαις συνὼν ὁμηγύρεσι
τοὺς πανηγυρίζοντας ἐπὶ τῆς γῆς
f. 91v τὴν / φωτοφόρον μνήμην σου
δόξης αἰωνίου
ταῖς σαῖς πρεσβείαις ἀξίωσον.

**Α**ἴγλη φωτιζόμενος τὸν νοῦν
θεαρχικῇ, ἀπροσκόπως παρέδραμες
νύκτα τὴν πολύθεον καὶ ὡς υἱὸς
ἡμέρας διὰ πίστεως
πάντων τὰς καρδίας
τῶν εὐσεβῶν κατελάμπρυνας.

**Ἰ**ουλιανὲ μάρτυς σοφέ,
κατὰ παθῶν βασιλεύσας τοῦ σώματος
δόγμα κατεπάτησας τοῦ δυσσεβοῦς
βασιλέως καὶ μέτοχος
θείας βασιλείας
ἐπουρανίου γεγένησαι.

---

LHIa

**Tit. kan**. ἐν τῷ ὄρθ(ρῳ) κανῶν τῆς η′ ἤχου καὶ τῶν ἁγίων Ia – κανῶν L – Θεοφάνους in marg. H : deest LIa

Incipit kanonis ed. in EfstrTam, 50 (1951) 346

heirm. α′ EE 1, nr 1, Joannis monachi

**107** συνῶν L – **111** πρεσβεῖαις L – **113** θεαρχικὴ L – **114** πολλύθεον L – **122** θεῖας L – **123** ἐπ᾽οὐρανίου L – γεγέννησαι L

Post vv. **118-123** HIa hoc troparion add.: Ἔσβεσας πυρὰν εἰδωλικὴν… (=Appendix IX, vv. 34-39).

*Θεοτοκίον.*

**Ἅ**γιόν σε τέμενος εὑρὼν
ὁ ὑπεράγιος Λόγος ἐσκήνωσεν,
ἄχραντε, ἐν μήτρᾳ σου, ἁγιασμὸν
καὶ φωτισμὸν καὶ λύτρωσιν
τῶν ἁμαρτημάτων
τοῖς σὲ τιμῶσι δωρούμενος.

*Ὠιδὴ γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

**Τ**αῖς θείαις ἐμπρέπων καλλοναῖς,
ὑπῆλθες τὸ μαρτύριον
ὡς νουνεχής, παμμάκαρ, καὶ φρόνιμος
καὶ τῇ συνέσει καὶ καρτερίᾳ σου
ἀνομοῦντας ᾔσχυνας
καὶ θεοῖς οὐκ ἔνειμας
ἀλογώτατον σέβας, πανεύφημε.

**Γ**λώσσῃ σου πυρίνῃ ἐμπιπρῶν
ἀθέων πανουργεύματα,
τυραννικοῦ πρὸ βήματος ἵστασο,
ἀνακηρύττων Θεοῦ τὴν σάρκωσιν,
τοῦ ὀφθέντος σώματι
καὶ ἡμῶν τὴν λύτρωσιν
τῷ οἰκείῳ ποιήσαντος αἵματι.

**Ἥ**λιος καθάπερ νοητὸς
τῷ θείῳ ἀνατέταλκας
τῆς ἐκκλησίας ὕψει, πανεύφημε,
ταῖς φωτοβόλοις τῶν ἄθλων λάμψεσι,
τὰ τῆς γῆς πληρώματα
καταυγάζων χάριτι,
καὶ τῆς πλάνης τὸν ζόφον ἐμείωσας.

---

LHIa

**124** Ἅγιον σε L – εὑρῶν L – **129** τιμῶσιν L

heirm. γ΄ EE 1, nr 1, Joannis monachi

**130** θεῖαις L – **132** φρόνημος L – **135** οὐκένειμας L – **139** προβήματος L – **141** ὀφέντος Ia – **145** θεῖω L – **150** ἐμείωσας : ἀπήλασας Ia

*Θεοτοκίον.*

**Ζ**άλης με ἀτάκτων λογισμῶν,
κινδύνων τε καὶ θλίψεων
καὶ πειρασμῶν, παρθένε, ἐξάρπασον
f. 92r καὶ πρὸς / λιμένας ἐνθέους ἴθυνον
καὶ γαλήνης πλήρωσον
τὴν ἐμὴν διάνοιαν
ἱκετεύω σε, μόνη πανάμωμε.

*Ὠιδὴ δʹ. Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατ(άσκιον)*

**Ὁ** πάλαι πτερνίσας ἐν Ἐδὲμ τοὺς προπάτορας
πτερνιζομένου σου τοῖς σοῖς
καθυποτάσσεται ποσίν·
ὁδοὺς γὰρ πεπόρευσαι
εἰς οὐρανὸν τὰς ὁδηγούσας, μακάριε,
καὶ εἰς Θεοῦ εἰσιούσας βασίλεια.

**Ὁ** κόσμος τῶν θείων σου θαυμάτων πεπλήρωται·
σὺ γὰρ κοσμήσας ἑαυτὸν
ταῖς ἐκ τῶν ἄθλων καλλοναῖς,
πρὸς τὴν ὑπερκόσμιον
διαμονὴν στεφηφορῶν ἀνελήλυθας
καὶ τῷ δεσπότῃ τῶν ὅλων παρίστασαι.

---

**158** cf. Gen 3:1-6

---

LHIa

**152** τὲ L – **157** σε om. Ia

heirm. δʹ EE 1, nr 1, Joannis monachi

**158** ἐνεδέμ L – **159** πτερνιζομένους L – **160** καθύποτάσσεται L – **164** θεῖων L

**Μ**άστιξι δεινῶς ὁ δυσμενὴς κατεσπάραττε
σὲ τὸ ἀρνίον τοῦ Χριστοῦ,
ἀποσυλῆσαι προσδοκῶν
Θεοῦ ἀρχιποίμενος καὶ ἐκλεκτῶν
προβάτων θείας συστάσεως,
ἀλλὰ τῇ σῇ καρτερίᾳ νενίκηται.

*Θεοτοκίον.*

**Ἥ**λιον, ὁλόφωτε παρθένε, κυήσασα
δικαιοσύνης, Ἰησοῦν
τὸν φωτοδότην καὶ Θεόν,
ψυχήν μου καταύγασον
τὴν ἐν νυκτὶ τῆς ἁμαρτίας ὑπάρχουσαν
καὶ ἡδονῶν ἀμαυρώσει τυφλώττουσαν.

*Ὠιδὴ ε′. Ὁ φωτίσας*
*τῇ ἐλλάμψει τῆς σῆς πα(ρουσίας, Χριστὲ)*

**Φ**υλακῇ σε
ζοφωτάτῃ ὁ τύραννος ἔθετο,
τὸν φύλακα
τῶν λαμπρῶν τοῦ Χριστοῦ διατάξεων,
καὶ δεινῶς στενώσας σε
τοῦ παραδείσου σοι τὸ πλάτος,
μάρτυς σοφέ, προεξένησεν.

---

**171-174** cf. Matth 25:31-46 – **176-177** Ἥλιον … δικαιοσύνης: cf. Mal 3:20

---

**182-183** cf. cf. Latyšev II, 84:31-32: *…εἶτα καὶ τῇ φυλακῇ παραπέμπεται…*

---

LHIa

heirm. ε′ EE 1, nr 1, Joannis monachi

**170** κατεσπάραττεν L – **174** θεῖας L – **186** στενῶσαι Ia – **187** σοὶ H – **188** προσεξένησεν H

**Μ**εταβάσει
θριαμβεύων τῶν ἄθλων τὰ τρόπαια,
ἐκ πόλεως
ἐπὶ πόλιν μετήρχου θλιβόμενος
καὶ στενοχωρούμενος
καὶ τὴν ἀπάτην καταστρέφων,
Ἰουλιανὲ μακάριε.

**Ἐ**πορεύθης
μαρτυρίου τὴν τρίβον γηθόμενος,
τὰ στίγματα
τῆς σαρκὸς ὡς φαιδρὰ ὡραΐσματα
f. 92v πε/ριφέρων, ἔνδοξε,
καὶ καταπλήττων πᾶσαν φρένα
τῇ ὑπὲρ νοῦν καρτερίᾳ σου.

*Θεοτοκίον.*

**Λ**όγον θεῖον
διὰ λόγου ἐν μήτρᾳ ἐχώρησας
ὑπὲρ λόγον,
θεοτόκε· αὐτὸν οὖν δυσώπησον
ἐξ ἀλόγων πράξεων
καὶ ἡδονῶν θανατηφόρων
ἐλευθερῶσαι τοὺς δούλους σου.

---

**198-199** cf. 2 Cor 12:7

---

**189-194** cf. PG 50, 669: *καὶ περιῆγεν αὐτὸν ἐνιαυτὸν ὁλόκληρον πανταχοῦ τῆς Κιλικίας καταισχύνων, μᾶλλον δὲ, ὡς οὐκ ᾤετο, λαμπρότερον ἀποφαίνων· … Περιήγετο μὲν γὰρ ὡς μέλλων καταισχύνεσθαι, τὸ δὲ ἐναντίον ἐξέβαινε· λαμπρότερος ὁ ἀθλητὴς διὰ τῆς πομπῆς ἐκείνης ἐγίγνετο, καὶ πάντας τοὺς τὴν Κιλίκων χώραν οἰκοῦντας τῆς οἰκείας ἐποίει ζηλωτὰς ἀρετῆς. Περιήγετο πανταχοῦ, ἵνα μὴ μόνον ἐξ ἀκοῆς μάθωσι τὰ παλαίσματα, ἀλλὰ καὶ αὐτὸν βλέπωσι τὸν στεφανίτην οἱ θεαταί· καὶ ὅσῳ μακροτέρους αὐτῷ ἐποίει τοὺς διαύλους, τοσούτῳ λαμπρότεροι οἱ δρόμοι πάντες ἐγίγνοντο…*

---

LHIa

**192** ἐπιπόλιν L – κατεῖρχου L – **202** ὑπερνοῦν L – **204** διαλόγου L – **205** ὑπερλόγον L – **207** ἐξαλόγων L

*Ὠιδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς (ἐσχάτη ἄβυσσος)*

**Ο**ὐράνιοι χοροὶ τὴν καρτερίαν σου,
παμμάκαρ, κατεπλάγησαν·
οὐκ ᾐσθάνου γὰρ βασάνοις ὁμιλῶν,
Ἰουλιανὲ μάρτυς πολύαθλε,
ἀποσκοπῶν
τὴν δι᾽ αἰῶνος μακαριότητα.

**Τ**εινόμενος δεινῶς καὶ καταντλούμενος
ταῖς μάστιξι, μακάριε,
τεταμένον σου τὸν νοῦν πρὸς τὸν Θεόν,
Ἰουλιανὲ μάρτυς, ἐκέκτησο,
ὃν προορῶν,
οὐκ ἐσαλεύθης στάσεως κρείττονος.

**Ἀ**πόλλωνι ψυχὰς προσαπολλύοντι
θυσίαν οὐ προσένειμας,
τῷ δεσπόζοντι Θεῷ ὡς ποιητῇ
θῦμα δὲ σαυτόν, μάρτυς, προσήγαγες
καὶ προσφορὰν
τελειοτάτην καὶ καλλιέρημα.

*Θεοτοκίον.*

**Ὁ** ἄχρονος Υἱὸς ἐν χρόνῳ γέγονεν
ἐκ σοῦ ἀποτικτόμενος·

---

**216-221** cf. PG 50, 670: *Καθάπερ γάρ τινες θῆρες ἄγριοι οἱ δήμιοι περιστάντες αὐτοῦ τὸ σῶμα διώρυττον τὰς πλευράς, κατέξαινον τὰς σάρκας, ἀπεγύμνουν ὀστᾶ, πρὸς αὐτὰ τὰ εἴσω τῶν σπλάγχνων ἐβάδιζον. Ἀλλ᾽ ὅμως καὶ πάντα διερευνώμενοι τὸν θησαυρὸν τῆς πίστεως ἀποσυλῆσαι οὐκ ἴσχυσαν…*

---

LHIa

heirm. στ΄ EE 1, nr 1, Joannis monachi

**212** οὐκησθάνου L – **215** διαιῶνος L – **220** ὂν L – **221** οὐκεσαλεύθης L – **222-227** ed. Zerv, 285 – **222** πρὸς ἀπολλύοντι L – **224** ποιητὴ LZerv – **225** δὲ σαυτὸν : σεαυτόν HIa – **227** τελειωτάτην L

ὃν ἱκέτευε τὰ χρόνια, ἁγνή,
πάθη θεραπεῦσαι τῆς καρδίας μου
καὶ πρὸς ζωὴν
καὶ σωτηρίαν καθοδηγῆσαί με.

*Ὠιδὴ ζʹ. Σὲ νοητήν,*
*θεοτόκε, κάμ(ινον)*

**Ἐ**πὶ Σταυροῦ
χεῖρας τὸν ἐκτείναντα
ἐξεικονίζων ἱερῶς,
ἐκ χειρῶν, Ἰουλιανὲ
μάρτυς, ἐκτετάνυσαι,
μάστιγας δεχόμενος
καὶ τὴν φθορὰν ἐκδυόμενος
καὶ τὴν στολὴν τῆς ἀφθάρτου
ζωῆς ἐπενδυόμενος.

**Τ**ῷ ῥαντισμῷ
τῶν αἱμάτων ἔσβεσας
πολυθεΐας τὴν πυρὰν
καὶ τοῖς ὄμβροις τῶν ἱερῶν,
ἔνδοξε, θαυμάτων σου
ὄμβρους ἀπεξήρανας
f. 93r ἁμαρτη/μάτων, ἀοίδιμε,
((ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος)).

---

**240** cf. Gen 3:21

---

**237-239** cf. notationem ad vv. 216-221

---

LHIa

**230** ὂν L – **231** θεραπεύσαι L – **233** καθοδηγήσαι L

heirm. ζʹ EE 1, nr 1, Joannis monachi

**235** χεῖρας p.c. L (ex χείρας) – **245** πολλυθεΐας L – **247** θαυμάτων : αἱμάτων L – **248** ὅμβρους L –
**250-251** (τῶν - ὑπερένδοξος) L

**Τ**ῶν οὐρανῶν
πύλας ἀνεπέτασεν
ἀγωνοθέτης σοι Χριστός,
ἀθλητὰ Ἰουλιανέ,
καὶ ταῖς τῶν μαρτύρων σε
θείαις ὁμηγύρεσιν
ἀναβοῶντα συνέταξεν·
«ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος».

*Θεοτοκίον.*

**Π**ύλη φωτός,
πύλας μοι διάνοιξον
τῆς μετανοίας διαυγεῖς,
τὰς εἰσόδους τῶν ἡδονῶν
εἴργουσα πρεσβείαις σου
καὶ ἀποδιώκουσα
τὰς πονηρὰς ἐνθυμήσεις μου,
ὅπως ὑμνῶ καὶ δοξάζω
τὴν σὴν ἄμαχον δύναμιν.

---

LHIa

**256** καὶ ταῖς : καὶ ταφοῖς Ia – ταῖς τῶν : τῶν τῶν H – **257** θεῖαις L – **259-260** ὁ αἰνετὸς (τῶν - ὑπερένδοξος) LIa : ὁ αἰνετὸς τῶν π(ατέ)ρων (Θεὸς καὶ ὑπερένδοξος) H – **265** πρεσβεῖαις L

*Ὠιδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

**Σ**ὺν θηρσίν σε, Ἰουλιανέ,
ἐν σάκκῳ κατακλείσας
θαλάσσῃ ἐναπορρίπτει
ὁ παράνομος, Χριστῷ
βοῶντα καὶ λέγοντα·
«εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας».

**Ὑ**φαπλοῖ σοι κόλπους ἡ ὑγρά,
πανεύφημε ὁπλῖτα,
τὸ πάθος εὐλαβουμένη
τὸ μακάριον, διὸ
βοῶν ἐστεφάνωσαι·
«εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας».

---

**275-278, 284-287** EE 1, nr 1, vv. 47-50 [cf. Dan 3:57]

---

**270-273** cf. PG 50, 671: *Σάκκον κομίσας, καὶ ἐμπλήσας ἄμμου, καὶ σκορπίους, καὶ ὄφεις, καὶ ἔχεις, καὶ δράκοντας ἐμβαλών, ἐνέβαλε μετ᾽ ἐκείνων καὶ τὸν ἅγιον, καὶ ῥίπτει εἰς τὸ πέλαγος. Καὶ ἦν μετὰ θηρίων ὁ μάρτυς, καὶ συναπεκλείετο θηρίοις πάλιν δίκαιος ἄνθρωπος.* Cf. Menol 353: *…τὸν δὲ ἅγιον Ἰουλιανὸν ἐμβαλόντες εἰς σάκκον γέμοντα ἑρπετῶν ἰοβόλων, καὶ ψάμμου, ἔρριψαν ἐν τῇ θαλάσσῃ.* Cf. Latyšev II, 86: *…σάκκον ἐνεχθῆναι κελεύει, θῆράς τε τούτῳ τῶν ἑρπηστικῶν ὅτι πλείστους ἐμβληθῆναι καὶ ψάμμον καὶ τοῦτον δὴ σὺν αὐτοῖς τὸν ἀθλητὴν τοῦ Χριστοῦ καὶ κατὰ πελάγους ῥιφῆναι.*

---

LHIa

heirm. η′ EE 1, nr 1, Joannis monachi

……....................................... = AHG X, XVI (1), 580-586.

---

Post vv. **700-707** AHG hoc trop. ed.: Τί ἐξέστης, πρεσβῦτα… [=AHG X, XVI (1), 463-469 et XVI (3) 255-261], Καὶ τί ξένον, πρεσβῦτα… [=AHG X, XVI (1), 470-476], Ἐκ σιγῶντος τεχθείσης… [=AHG X, XVI (1), 477-483], Τὸ τεχθὲν αὐτῇ βρέφος… [=AHG X, XVI (1), 484-490]

Post vv. **726-732** AHG hoc trop. ed.: Τὴν ἐκκλησίαν μιμεῖται… [=AHG X, XVI (1), 545-551 et XVI (2), 516-522], Τῇ τοῦ προδρόμου γεννήσει… [=AHG X, XVI (1), 552-558 et XVI (2), 523-529], Τὸν πρὸ ἡλίου δραμόντα… [=AHG X, XVI (1), 559-565]

*Ὠιδὴ η΄. Τὸν ἐκτείναντα Θεὸν*
*τὸν οὐρανὸν ὡσεὶ δέρ(ριν)*

**Τ**ὸν τιμήσαντα Θεὸν
τῆς Ἐλισάβετ τὸν υἱὸν
καὶ ἀναδείξαντα τοῦτον
τῆς μετανοίας ὁδηγὸν
καὶ τῆς ἄνω δόξης
γλυκοφθόγγον σάλπιγγα,
προσφωνοῦσαν· «ὁ βαπτίζων
πάντας ἐν μέσῳ ἡμῶν ἐστίν».

**Τ**ὸν δεσμεύσαντα Θεὸν
τοῦ Ζαχαρίου τὴν φωνὴν
καὶ μετὰ χρόνον αὐτῷ
πάλιν τικτομένης τῆς φωνῆς
ἐλθούσης τῆς χάριτος,
εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Τ**ὴν τοῦ νόμου σιωπὴν
ὁ Ζαχαρίας προεῖπεν
ἐν τῷ ναῷ θυμιῶν,
ἔκθαμβος ἐξαίφνης γεγονώς·
τὴν φωνὴν δεσμεῖται
καὶ μένει ὡς ἄλαλος
f. 112v ἄχρι / τόκου τῆς φωνῆς τοῦ λόγου,
καθὼς εὐηγγελίσθη.

---

**763-764** cf. Luc 1:16 – **769-784** cf. Luc 1:5-20

---

L

heirm. η′ EE 105, nr 148, Andreae [Cretensis] Jerosolymitanis

**771** μεταχρόνον L – **774-776** εὐ(λ)ο(γεῖτε) καὶ υπ(ερυψοῦτε – αἰῶνας) L – **780** γεγονῶς L

*Εἱρμὸς ἄλλος. Ἐν πυρὶ φλογὸς παρίστανταί σοι …*
*… (εἰς πάντας τοὺς αἰῶνας).*

785-792 **Θ**υμιῶντι καὶ λατρεύοντι …
........................................ = AHG X, XVI (1), 617-624.
793-800 **Μ**είζων πάντων σε ἀνέδειξεν …….. = AHG X, p. 387.
801-808 **Τ**ὰ παράδοξα τοῦ τόκου σου …
……........................... = AHG X, XVI (1), 673-680.
809-816 **Τ**οὺς ἐχθροὺς ἡμῶν κατάβαλε …
…………………..…….. = AHG X, XVI (2), 615-622.
817-824 *Τριαδ.* **Σ**ὺν ἀγγέλοις ἀνυμνοῦμεν σε …
………………………… = AHG X, XVI (1), 681-688.
825-832 *Θεοτ.* **Τ**ίς ἀκούων οὐκ ἐξίσταται …
……............................. = AHG X, XVI (1), 689-696.

Ὠιδὴ θʹ. Σὲ τὴν ὑπὲρ πᾶσαν ἔννοιαν …
f. 113r … ἀφράστῳ λόγῳ / κυήσασαν …
… εὐσεβῶς μ(ε)γ(αλύνομεν).

**Σ**ὲ τὸν ἐν γαστρὶ σκιρτήσαντα
καὶ γνωρίσαντα γλώσσῃ μητρὸς τὸν ποιητήν,
ἐκ παρθένου μυστικῶς
ἀφράστῳ λόγῳ σαρκούμενον,
κατὰ χρέος οἱ πιστοὶ ἅπαντες
εὐσεβῶς μεγαλύνομεν.

---

**833-836** cf. Luc 1:29-45

---

L

Post vv. **793-800** AHG hoc trop. ed.: «Νεκρωθέντι καὶ γηράσαντι»… [=AHG X, XVI (1), 625-632], «Ἡ μορφή σου καταπλήττει με»… [=AHG X, XVI (1), 633-640], Ἀπιστοῦντι καὶ διστάζοντι… [=AHG X, XVI (1), 641-648], «Οὐδὲ γῆρας, οὐδὲ στείρωσις»… [=AHG X, XVI (1), 649-656], Ἐν ἀγκάλαις ὁ πρεσβύτατος… [=AHG X, XVI (1), 657-664], «Ἀπεθέμην τῆς στειρώσεως»… [=AHG X, XVI (1), 665-672]

heirm. θʹ EE 107, nr 150, Andreae Cretensis Jerosolymitanis – **837** καταχρέως L

**Σ**ὲ τὸν ἐκ τῆς στείρας σήμερον
γεννηθέντα ἐνδόξως, Χριστοῦ βαπτιστά,
καὶ φωτίσαντα θνητοὺς
ἐν ὕδατι τοῦ βαπτίσματος
κατὰ χρέος οἱ πιστοὶ ἅπαντες
εὐσεβῶς μεγαλύνομεν.

**Σ**ὲ τὸν τὰς ἀκάνθας τέμνοντα
τῶν παθῶν τῶν ἐν βίῳ, ἰσάγγελε
Ἰωάννη, μυστικῶς
τῆς χάριτος καὶ τοῦ πνεύματος
κατὰ χρέος οἱ πιστοὶ ἅπαντες
εὐσεβῶς μεγαλύνομεν.

*Εἱρμὸς ἄλλος. Ὑμνοῦμεν σε, ἄχραντε …*
*παρθένος μετὰ τόκον, ἁγνή.*

851-860 **Ἐ**ξήνθησας, πρόδρομε …
… = AHG X, XVI (1), 697-707; XVI (2) 663-673 et XVI (4) 286-296.
861-870 **Π**αρθένος ἠσπάζετο …......... = AHG X, XVI (4), 297-307.
871-880 **Ἀ**ξίνη χαλκεύεται …
f. 113v … τὴν ἄ/κανθαν …
…....... = AHG X XVI (2) 674-684 et XVI (4) 308-318.
881-890 **Ἀ**πάντων μνημόνευε …
……. = AHG X XVI (1) 719-729 et XVI (2) 696-706.
891-900 *Τριαδ.* **Τ**ριάδα δοξάζοντες …
…........... = AHG XVI (2) 707-717 et XVI (4) 319-329.
901-910 *Θεοτ.* **Χ**αῖρε, μήτηρ ἄχραντε …
…....... = AHG XVI (2) 718-728 et XVI (4) 330-340.

---

**839-844** cf. Luc 1:5-58

---

L

**839** στεῖρας L – **843** καταχρέως L – **846** ἱσάγγελε L – ἰωάννη L – **849** καταχρέως L

Post vv. **871-880** AHG hoc trop. ed.: Πάντες προφητεύοντι… [=AHG X XVI (1) 708-718 et XVI (2) 685-695]

*Ἐξαποστειλάριον.*
*<Ἦχος γ΄.> Πρὸς Ἐν Πνεύματι τῷ ἱερῷ*

**Ἐ**κ τῆς ἀκάρπου σήμερον
γηραλέας καὶ στείρας
ὁ μέγας ἀνατέταλκεν
Ἰωάννης ὁ πάνυ·
εὐφραίνου γῆ καὶ οὐρανὲ
καὶ βροτῶν τὸ γένος
ὕμνοις ἐξ ἐγκωμίων
καταστέψωμεν τούτου
τὴν πανίερον καὶ θείαν
κορυφὴν ἐπαξίως.

*Ἄλλον.*
*<Ἦχος β΄.> Πρὸς Γυναῖκες ἀ(κουτίσθητε)*

921-929 **Τ**ὸ τοῦ Προδρόμου σήμερον …
f. 114r … / αὐτὸ φαιδρῶς ἑορτάζει. ...................... = MV X, 88.

---

**911-914** cf. Luc 1:5-58

---

L

heirm. exap. MV VI, 15 – Incipit exap. ed. in EfstrTam, 51 (1952) 32 (ex codd. Pc, f. 56r; Athon. Laurae Θ32, f. 322v) – **912** στήρας L – **915** γὴ L – **917** ἐξεγκωμίων L

**25**

**In s. Febroniam martyrem**

*Μηνὶ τῷ αὐτῷ κε΄ τῆς ἁγίας μάρτυρος Φεβρωνίας.*

*Κάθισμα.*
*Ἦχος α΄. Πρὸς Τὸν τάφον σου, σωτήρ,*
*στρατιῶτ(αι τηροῦντες)*

1-11 **Π**οθήσασα Χριστὸν …………………………… = MV X, 90.

*Ἄλλον.*
*Ἦχος δ΄. Πρὸς Ὁ ὑψωθεὶς ἐν τ(ῷ σταυρῷ ἑκουσίως)*

**Ο**ἱ ἀγῶνες σου, σεμνή, καὶ τὰ θαύματα
τοῦ δι᾽ ἡμᾶς ἐπὶ τῆς γῆς νῦν ὀφθέντος
τοῦ διαβόλου ᾔσχυναν τὰ τρόπαια·
Χριστὸν γὰρ τὸν νυμφίον σου
ἐκ καρδίας ποθοῦσα,
οὐ μάστιγας οὐ θάνατον
δι᾽ αὐτὸν ἐπτοήθης,
ἀλλ᾽ ἀνετέθης ὅλη τῷ Θεῷ,
τῆς ἀφθαρσίας λαβοῦσα τὸν στέφανον.

---

**20** cf. 2 Tim 4:8

---

**15-18** cf. VF 21C: *Ἀκούσασα δὲ ἡ Φεβρωνία, λέγει πρὸς αὐτήν, Ζῇ ὁ Χριστός μου, ᾧ ἐνυμφεύθην, καὶ ᾧ τὴν ψυχήν μου ἀνεθέμην οὐ μὴ ἐξέλθω ἐκ τοῦ τόπου τούτου, ἀλλ᾽ ὧδε ἀποθανοῦμαι, καὶ ὧδε ταφήσομαι.*

---

L

heirm. kath. Trypanis, 152; PaAD, 419 – **12** θαύματα p.c. L (ex θαὺματα) – **13** διημᾶς L – ὀφθέντος L – **17** μάστηγας L – διαυτὸν L – **18** ἐπτωήθης L – **19** ἀλλανετέθης L

*Τὸ κονδάκιον.*
*Ἦχος δʹ. Πρὸς Ἐπεφάνης σήμερον*

21-27 **Τ**ὴν ἐκ βρέφους ἅπαντα καταλειποῦσαν …
…… = TRM σιηʹ-σιθʹ; PitraAS 645; Laur 121;
AmphKond 124.

*Ὁ οἶκος.*

**Τ**ῶν μοναστῶν τὴν καλλονὴν
καὶ τῶν μαρτύρων κλέος,
τὴν ὄντως φερωνύμως
κληθεῖσαν Φεβρωνίαν
ἀνευφημήσωμεν, πιστοί·
αὕτη γὰρ ἀνδρείως
τὰς παρατάξεις τοῦ ἐχθροῦ
πατήσασα κατέβαλεν,
τὸ πρῶτον ἐν ἀσκήσει,
τὸ δεύτερον μέσον τοῦ σταδίου,
ἐναθλοῦσα καὶ βοῶσα
πρὸς τοὺς τυράννους ἐν παρρησίᾳ·
«Ἐκ βρέφους τὸν Χριστὸν ἠγάπησα πίστει,

---

**38-43** cf. nottionem ad vv. 10-11

---

L

**28-43** Τῶν μοναστῶν – οἰκήσω cf. PitraAS, 645-646, et AmphKond, 124; incipit ed. in EfstrTam, 51 (1952) 34 (ex codd. Paris. gr. 1569, f. 136r; Paris. gr. 1576, f. 88r; Athon. Vatop. 1041, f. 152r; Athon. Laurae Γ27, f. 48r; Athon. Laurae Γ28, f. 172r; G, f. 115r) – **28** μοναστῶν AmphKond – **29** κλέως AmphKond – **30** om. PitraAS – **31** om. AmphKond – κληθῆσαν L – post Φεβρωνίαν PitraAS add. νῦν ᾄσμασιν ἀξίοις – **32** πιστοῖ AmphKond – **33-43** τὸν γὰρ ἐχθρὸν κατεπάτησεν· καὶ διπλοῦν στέφος νῦν· τὸ πρῶτον ἐνασκήσει τὸ δεύτερον· μέσον τοῦ σταδίου· ἐναθλοῦσα καὶ βοῶσα πρὸς τοὺς τυράννους· μετὰ παρρησίας· ἐκ βρέφους τῶ Χ(ριστ)ῶ· ἠγάπησα πίστει· ἕως τέλους διαὐτὸν· σπεύδω τεθνάναι· ἵνα συναὐτῶ οἰκήσω» L – **33** αὐτὴ PitraAS, αὔτη AmphKond – **34** τοῦ om. PitraAS – **36** τὸ πρῶτον : τῶ πρώην AmphKond – ἐνασκήσει L – **38** ἐνάθλοῦσα AmphKond – **39** μετὰ παρρησίας AmphKond – **40** τῶ χῶ ἠγάπησα AmphKond

καὶ εἰς τέλος δι᾿ αὐτὸν σπεύδω τεθνάναι,
ἵνα σὺν αὐτῷ οἰκήσω εἰς τοὺς αἰῶνας,
καὶ διπλοῦν στέφος τῆς νίκης μου δέξωμαι».

*Στιχηρά.*
*Ἦχος δ′. Πρὸς Ἔδωκας σημείωσιν*
*τοῖς φο(βουμένοις σε, Κύριε)*

44-55 **Ἀ**θλησιν ὑπέμεινας …
f. 114v ... ἀνελήλυθας / ........................................... = MV X, 89.
56-67 **Κ**άλλει τῷ τοῦ σώματος ........................... = MV X, 89.
68-79 **Κ**ύκλῳ παρενέβαλε ................................. = MV X, 89.

*Ὁ κανὼν <οὗ ἡ ἀκροστιχίς· Ὕμνοις σε μέλπω προσφόρως Φεβρωνία>.*

*Θεοφάνους.*

*Ὠιδὴ α′. Ἦχος πλ. δ′. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

80-84 **Ὑ**πέρμαχε δόξης τῆς τοῦ Χριστοῦ ................ = MV X, 90.
85-89 **Μ**ελέτῃ θανάτου διηνεκεῖ ............................ = MV X, 90.
90-94 **Ν**εώσασα πόνοις ἀσκητικοῖς ........................ = MV X, 90.
95-99 *Θεοτ.* **Ὁ** νεύματι πάντα δημιουργῶν ............ = MV X, 90.

*Ὠιδὴ γ′. Σὺ εἶ τὸ στερέωμα*
*τῶν προ(στρεχόντων σοι, Κύριε)*

100-103 **Ἴ**σχυσας τῷ Πνεύματι ................................ = MV X, 90.
f. 115r 104-107 / **Σ**ὺ νῦν ἐστερέωσας .................................. = MV X, 90.
108-111 **Σ**ῶμα σου τεμνόμενον ................................ = MV X, 90.
112-115 *Θεοτ.* **Ε**ὗρε σε βοήθειαν .............................. = MV X, 90.

---

L

**41** ἕως τέλους AmphKond – διαὐτὸν L – τεθάναι PitraAs, θανίναι AmphKond – **42** σὺν om. AmphKond – οἰκεῖσω AmphKond – νῦν εἰς αἰῶνας PitraAS – συναὐτῶ L – **43** διπλοῦν τε PitraAS – μου δέξωμαι om. AmphKond

*Ὠιδὴ δʹ. Σύ μου, Χριστέ,*
*Κύριος, σύ μου καὶ δύ(ναμις)*

116-125 **Μ**ῶμος ἐν σοὶ ὅλως οὐκ ἔστι, πανεύφημε …. = MV X, 90.
126-135 **Ἐ**ξ ἁπαλῶν, μάρτυς, ὀνύχων ἐπόθησας …… = MV X, 90.
136-145 **Λ**όγοις Θεοῦ ἐντεθραμμένη, θεόσοφε ........... = MV X, 90.
146-155 *Θεοτ.* **Π**ύλη φωτὸς πᾶσιν ἐδείχθης, πανάμωμε …
……………………………………………… = MV X, 90.

*Ὠιδὴ εʹ. Ἱνατί με ἀπώσω*
*ἀπὸ τοῦ π(ροσώπου σου τὸ φῶς τὸ ἄδυντον)*

f. 115v 156-162 **Ὡ**ραιώθης πορφύρα, μάρτυς, ἐξ αἱμάτων σου / …
……………………………………………….. = MV X, 90.
163-169 **Π**υρωθεῖσα τῷ πόθῳ ……………………......... = MV X, 90.
170-176 **Ῥ**οὴ τῶν σῶν αἱμάτων ……………………….. = MV X, 91.
177-183 *Θεοτ.* **Ο**ἱ σοὶ πόδες τμηθέντες …………......... = MV X, 91.

*Ὠιδὴ στʹ. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

184-189 **Σ**ελήνου τοῦ δυσσεβοῦς ἡ ἄθεος ………......... = MV X, 91.
190-195 **Φ**ωστῆρα θεοφεγγῆ σε ἔδειξεν …………........... = MV X, 91.
196-201 *Θεοτ.* **Ὁ** ἔμψυχος τοῦ δεσπότου θάλαμος …
f. 67r … ἐν μέσῳ / συγχύσεως …………………. = MV X, 91.

*Ὠιδὴ ζʹ. Παῖδες Ἑβραίων ἐν καμ(ίνῳ)*

202-207 **Ῥ**εῖθρα πηγάζεις ἰαμάτων ……………............. = MV X, 92.
208-213 **Ὦ** τῆς καλῆς σου πραγματείας …………........... = MV X, 92.
214-219 *Θεοτ.* **Σ**τίφει παρθένων συγχορεύεις …......... = MV X, 92.

*Ὠιδὴ ηʹ. Ἑπταπλασίως κάμινον*

220-231 **Φ**ωτοφανῶς ἡ μνήμη σου ………………......... = MV X, 92.
232-243 **Ἐ**θαυμαστώθης πρότερον ………………... = MV X, 92-93.
244-255 **Β**εβαρημένος πταίσμασι …………………......... = MV X, 93.
256-267 *Θεοτ.* **Ῥ**ητοτευόντων γλῶσσαι σε …
f. 67v … Θεὸν γὰρ ἐγέν/νησας ………………. = MV X, 93.

*Ὠιδὴ θʹ. Ἐξέστη ἐπὶ τούτ(ῳ ὁ οὐρανὸς)*

268-276 **Ὦ** θεία τοῦ δεσπότου περιστερὰ …………......... = MV X, 93.
277-285 **Ν**οῒ προσομιλοῦσα γυμνῷ τῷ νῷ …………......... = MV X, 93.
286-294 **Ἰ**άσεις ἀναβρύεις ὡς ποταμὸς ……………......... = MV X, 93.
295-303 *Θεοτ.* **Ἀ**νώρθωσας, παρθένε, τῶν γυναικῶν …
........................................................................... = MV X, 93.

*Ἕτερος κανὼν εἰς τὴν ἁγίαν μάρτυρα Φεβρωνίαν· καὶ εἰς τὴν ἁγίαν μάρτυρα Γολινδοὺχ καὶ εἰς τὰς λοιπὰς μάρτυρας.*

*Ὠιδὴ αʹ. Ἦχος πλ. δʹ. Τῷ συντρίψαντι πο(λέμους)*

**Χ**ορευέτωσαν γυναῖκες,
εὐφραινέσθωσαν βροτοί,
ὅτι καὶ τοῦ θήλεος νεανικῶς
f. 116r ἀντεκατέστη / φύσις
κατὰ τῆς βουλῆς
τοῦ πολεμήτορος
καὶ παλαιοῦ πτερνιστοῦ.

**Π**όθῳ πάθεσιν γυναῖκες
ἀντετάξαντο στερρῶς
ὅλην ἐκλαθόμεναι τὴν ἀσθενῆ
καὶ γυναικείαν φύσιν·
ὅθεν καὶ ἀνδρείως
ἐναπέθανον
ταῖς τῶν βασάνων ποιναῖς.

---

L

heirm *αʹ* EE 228, nr. 327, Andreae cretensis

**306** θήλεως L – **311** γυναίκες L – **313** ἀσθενὴ L

**Π**ροασκήσασα γενναίως,
ἐναθλήσασα στερρῶς,
μάρτυς ἀξιόχρεε, τῆς οὐρανίου
βασιλείας νύμφη,
στέφανον διττὸν
νομίμως ἄνωθεν
ἀπεκομίσω, σεμνή.

*<Τριαδικόν.>*

**Τ**ὸν Πατέρα προσκυνοῦμεν,
ἀνυμνοῦμεν τὸν Υἱόν,
σέβομεν τὸ ἅγιον Πνεῦμα βοῶντες
Θεῷ τῷ ἐν Τριάδι·
«ἄναρχε Τριὰς
ἡ ὁμοούσιος,
σῶσον τὸν κόσμον σου».

*Θεοτοκίον.*

**Τ**ὴν ἀνύμφευτον μητέρα
τὴν γεννήσασαν ἡμῖν
ἀσπόρως ἀπάτορα Υἱὸν σωτῆρα
Θεόν τε καὶ Λόγον
πάντες ἐπαξίως
ἀνυμνήσωμεν
ὡς σωτηρίας ἀρχήν.

---

**322-324** cf. 2 Tim 4:8; 1 Petr 5:4

---

**320-321** cf. infra, notationem ad vv. 351-353

---

L

**326** υ(ιὸ)ν L – **335** τὲ L

*Ὠιδὴ γʹ. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ*

**Ἐ**μεγαλύνθη ὁ βραχίων σου ἐν ἁγίοις
ἠσχύνθη, Κύριε, ὁ Βελίαρ,
ἐκρατύνθη τὰ στερρότατα γύναια
τὴν τούτου ἰσχὺν πατήσαντα.

**Τ**ῆς γυναικείας ἐκλαθόμεναι ἀσθενείας
γυναῖκες ἴσχυσαν πρὸς τυράννους,
πρὸς βασάνους, πρὸς θηρία καὶ μάστιγας,
πρὸς ξίφη, πρὸς πῦρ καὶ πᾶσαν ποινήν.

**Ὢ** καρτερίας! ὢ στερρότητος! ὢ ἀνδρείας!
ἡ μάρτυς βλέπουσα τῷ σιδήρῳ
τετμημένα τὰ τοῦ σώματος μόρια
ἠγάλλετο καὶ ψυχῇ καὶ σαρκί.

**Ὑ**περιδοῦσα ἡ στερρόψυχος τῶν προσκαίρων
τῷ πόθῳ, Κύριε, τοῦ σταυροῦ σου

---

**339** cf. Ps 88:14; Is 53:1; Luc 1:51

---

**348-350** cf. infra, notationem ad v. 548 – **351-353** Ὑπεριδοῦσα-προσκαίρων: cf. *AASS* Iunii V, 26F-27A: [Σέληνος λέγει·] *…καὶ ἔσῃ τῷ κυρίῳ μου Λυσιμάχῳ εἰς γυναῖκα, … ὅντινα καὶ ὁρᾷς ὅτι καὶ αὐτὸς περικαλής ἐστιν ὡς καὶ σὺ. Ἄκουσον οὖν τῆς συμβουλίας μου ὡς πατρός σου, καὶ ποιήσω σε ἔνδοξον ἐπὶ τῆς γῆς· … πάντα οὖν τὰ ἐμά σοι δωρήσομαι, καὶ δέσποιναν πάντων καταστήσω σε, καὶ ταῦτα εἰς προῖκα ἐπιδώσω τῷ κυρίῳ μου Λυσιμάχῳ, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ δοξασθείσῃ ἐπὶ τῆς γῆς, καὶ μακαριοῦσι σε αἱ θηλίαι πᾶσαι οἵας τιμῆς ἠξιώθης. Χαρίσεται δὲ καὶ ὁ καλλίνικος ἡμῶν Βασιλεὺς, καὶ δωρήσεται ὑμῖν καὶ αὐτὸς πολλὰ, ἐπηγγείλατο γὰρ ἐπὶ τὸν ὑπερέχοντα τῶν Ἀρχῶν θρόνον ἀναβιβᾶσαι τὸν Κύριόν μου Λυσίμαχον καὶ πράττειν τὸν Ἔπαρχον. Ἰδοὺ ἀκήκοας πάντα, δὸς ἀπόκρισιν ἐμοὶ τῷ πατρί σου τὴν καὶ τοὺς θεοὺς θεραπεύουσαν καὶ τὴν ψυχήν μου χαροποιοῦσαν· ἐπεὶ ἐὰν ἀπειθὴς ὀφθείης πρὸς τὴν παραίνεσίν μου, ἐπίστανται οἱ θεοὶ, ὅτι οὐ μὴ ζήσῃς τρεῖς ὥρας εἰς τὰς χεῖράς μου. … Φεβρονία λέγει, ἐγὼ δικαστὰ παστάδα ἔχουσα ἐν οὐρανοῖς* →→→

---

L

heirm γʹ EE 222, nr 319, Joannis monachi

**340** ἠσχύνθη L – **343** γυναικεῖας L – ἀσθενεῖας L – **349** μώρια L – **350** ἠγάλλετο L – ψυχὴ L

προσηλώθη καὶ τὰς σάρκας κατέτηξεν
δι᾽ αἵματος νυμφευθεῖσα σοι.

*Θεοτοκίον.*

f. 116v 355 / Ἐμακαρίσθης ὑπὲρ πάσας τὰς ἐν τῷ κόσμῳ
γυναῖκας, ἄχραντε θεοτόκε,
ὡς τεκοῦσα τοῦ Πατρὸς τὸν συνάναρχον
λαβόντα ἐκ σοῦ τὸν πρῶτον Ἀδάμ.

---

→ *ἀχειροποίητον, νυμφῶνα ἀκατάλυτον κεκτημένη, νυμφίον ἔχουσα ἀθάνατον, θνητῷ καὶ φθαρτῷ ἀνθρώπῳ συνοικῆσαι οὔτε ἀκοῦσαι ἀνέχομαι· ὥστε δικαστὰ μὴ κάμνε, οὔτε γὰρ κολακεύων ὀφελήσεις, οὔτε ἀπαιλῶν ἐκφοβήσεις.* Cf. Latyšev II, 100: *φησὶν ὁ Σέληνος πρὸς αὐτὴν· «…θέλησον τοίνυν πεισθῆναί μοι, καὶ δοξάσω σε. τόνδε γάρ σοι τὸν περικαλλῆ νεανίαν κατεγγυήσω, ἐμὸν ἀνεψιὸν ὄντα, καὶ πλούτῳ σε κοσμήσω πολυτελεῖ, καὶ βασιλεὺς δέ σοι πλεῖστα παράσχῃ χρήματα, καὶ πᾶσαί σε μακαριοῦσι γυναῖκες, καὶ περίδοξος ἐν κόσμῳ γενήσῃ. λέγε μοι τοίνυν τὸ σοὶ παριστάμενον». καὶ ἡ παρθένος· «Μὴ κάμνε, δικαστά, περὶ τούτων ἀνερωτῶν. ἔστι γάρ μοι νυμφίος ἀθάνατος ἀντὶ θνητοῦ καὶ ἀνώλεθρος. οὔτε γὰρ κολακεύων με πείσεις, οὔτ᾽ ἀπαειλῶν ἐκφοβήσεις».*

---

**355-356** cf. Luc 1:42 – **358** cf. 1 Cor 15:45

---

**353** cf. *AASS* Iunii V, 27C: *…ἴδεν τὰς σάρκας αὐτῆς μετὰ τοῦ αἵματος ἐπὶ τῆς γῆς φερομένας…*; cf. *AASS* Iunii V, 28A: *Λαβόντες οὖν οἱ ὑπηρέται πλήκτρα, ἐπὶ τοσοῦτον ἔξεον, ὥστε καὶ τὰς σάρκας αὐτῆς σὺν τῷ αἵματι ἐπὶ τὴν γῆν καταπίπτειν…* Cf. Latyšev II, 100: *…καὶ τοῦτο μὲν κάτωθεν τῶν σαρκῶν αυτῆς ὑπορρεουσῶν, τοῦτο δὲ τῶν νώτων ταῖς ῥάβδοις κατακρεουργουμένων καὶ πλήρους τῆς γῆς τῶν αἱμάτων ἐντεῦθεν γενομένης…* – **357** cf. CocConHier 18; ConCon 838

---

L

**354** νυμφευθείσα L – **355** ὑπερπάσας L

*Ὠιδὴ δ΄. Ὁ προφήτης Ἀββακοὺμ*
*τοῖς νοεροῖς ὀφθαλμοῖς προεῖδε, Κύριε,*
*τὴν παρουσίαν σου·*
*διὸ καὶ ἀνέκραζεν·*
*«ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός·*
*δόξα τῇ δυνάμει σου,*
*δόξα, Χριστέ, τῇ συγκαταβάσει σου».*

**Ἡ** ἀμώμητος ἀμνάς,
ἡ ἀπειρόζυγος δάμαλις, ἡ ἄκακος
περιστερὰ καὶ ἁγνὴ
Χριστῷ ἠκολούθησεν,
ἀσκητικοῖς πόνοις τὸν ζυγὸν
ἀνέλαβεν τῷ αὐχένι αὐτῆς,
ἀθλοῦσα ὄντως τῇ στερρότητι.

---

**359-362** cf. AHG VIII, XII, 206-214 (Josephis, in S. Theodoram): *Ὡς τρυγὼν φιλήσυχος, ὡς ὡραία ὄντως χελιδών, ὡς εὔλαλος ἀηδών, ὡς περιστερὰ σχοῦσα χρυσᾶς πτέρυγας ἐπετάσθης πρὸς τοὺς οὐρανούς, ἔνθα ἐκέκτησο, Θεοδώρα, τὸ πολίτευμα.*

---

L

heirm. δ΄ EE 230, nr. 330, Andreae cretensis – ἀμβακοὺμ L – προῒδεν L – θεμὰν L – **362** ἡκολούθησεν L

**Ἡ** φιλέρημος τρυγών,
τὸ ἀκηλίδωτον πρόβατον, ἡ εὔλαλος
τοῦ Ἰησοῦ χελιδὼν
σωφρόνως βιώσασα
ἐπὶ σφαγὴν ἤχθη δι᾽ αὐτόν,
οὐ κράζουσα, οὐκ ἐρίζουσα,
λαλοῦσα δὲ τὰ μεγαλεῖα αὐτοῦ.

**Κ**αταφρονήσασα σαρκός,
ὑπεριδοῦσα αἰσχύνης καὶ γυμνώσεως,
μάρτυς ἀοίδιμε,
τὰ μέλη προέτεινας
πρὸς ἐκτομήν, κράζουσα Χριστῷ·
«γενέσθω δὴ ἡ θυσία μου
εὐπρόσδεκτος ἐνώπιόν σου, σωτήρ».

«**Ἐ**κ τῶν περάτων τῆς σαρκὸς
τῶν ἐκκοπέντων μελῶν πρὸς σὲ κεκράξομαι»·
ἐβόας, μάρτυς Χριστοῦ·
«τεμνέσθω τὰ μέλη μου,
χεῖρες ὁμοῦ, πόδες καὶ ἁρμοὶ
λυέσθωσαν ὑπὲρ σοῦ, Ἰησοῦ·
καινὰ γὰρ ἐκ σοῦ ταῦτα λήψομαι».

---

**378-379** cf. 1 Petr 2:5; Rom 12:1

---

**370** cf. *AASS* Iunii V, 30F: …*ὡς ἄντις σφαγιάσας πρόβατον, οὕτως σφαγιάσας αὐτὴν, τὴν ἁγίαν αὐτῆς ἀπέτεμε κεφαλὴν…* [cf. Is 53.7; Act 8.32] – **373-379** cf. *AASS* Iunii V, 27A-B: *Οἱ οὖν στρατιῶται ταχέως περιῤῥήξαντες τὰ ἱμάτια αὐτῆς, καὶ ῥακκίοις αὐτὴν περιζώσαντες, ἔστησαν ἐπὶ πάντων γυμνήν· τότε Σέληνος λέγει. Τί λέγεις Φεβρονία; ὁρᾷς οἵων ἐξέπεσας ἀγαθῶν, καὶ οἵας τετύχηκας ἀτιμίας; Φεβρονία λέγει, ἄκουε δικαστὰ, κἂν ὅλην τῶν ἱματίων περιέλης τὴν γύμνωσίν μου, ἐγὼ ταύτην ἀσχυμοσύνην οὐ λογίζομαι· εἷς γὰρ ὁ δημιουργὸς τοῦ ἄρρενος καὶ τῆς θηλείας, οὐδὲ γὰρ μόνην τὴν τῶν ἱματίων γύμνωσιν περιμένω, ἀλλὰ καὶ τὴν διὰ ξίφους καὶ πυρὸς τιμωρίαν ἐκδέχομαι, εἴγε ἀξία γεννήσομαι παθεῖν ὑπὲρ τοῦ παθόντος ὑπὲρ ἐμοῦ.* Cf. Latyšev II, 100: …*κελεύει διαρρήξαντες αὐτῆς τὰ ἱμάτια ῥάκεσι περιζῶσαι καὶ ἄτιμον ἐπὶ πάντων αὐτὴν παραστῆσαι…*

---

L

**368** χεληδὼν L – **370** ἐπισφαγὴν L – διαὐτὸν L – **371** οὐκερίζουσα L – **384** ἀρμοὶ L – **385** ὑπερσοῦ L

*Θεοτοκίον.*

**Σ**ὺ τὴν πεσοῦσαν ἐν Ἐδὲμ
ἀδαμιαίαν σκηνὴν μόνη ἀνέστησας,
θεογεννῆτορ ἁγνή,
τεκοῦσα τὸν πλάστην σου
καὶ ποιητὴν ὄντως τοῦ Ἀδάμ,
ἀτρέπτως σάρκα λαβόντα ἐκ σοῦ
καὶ μείναντα φύσει Θεὸν ἐκ Θεοῦ.

*Ὠιδὴ ε΄. Τὸν ζόφον τῆς ψυχῆς μου*

**Ἀ**νδρείαν τῇ φρονήσει
f. 117r συμβαλοῦσα, μάρτυς, τοὺς ἄ/θλους διήνυσας,
δικαιοσύνην δὲ πρώην
σωφροσύνῃ ἀσκήσασα,
διττοῖς στεφάνοις, σεμνή,
κατεκοσμήθης ἀξίως
ὡς νύμφη Θεοῦ ἐκλεκτή.

**Ἀ**σκήσει μὲν τὸν βίον
προειργάσω, μάρτυς ὁσία, δεκτὸν τῷ Χριστῷ,
τῇ δὲ ἀθλήσει διόλου
τὸ σῶμα καὶ τὸ πνεῦμα
καθιερώσασα Χριστῷ,
ὁλοκαρπώθης, ἐτύθης,
ἐστέφθης νομίμως, σεμνή.

---

**392-393** cf. ConEph 1.1.4, p. 54 – **393** cf. ConEph 1.1.1, p. 12 – **400** cf. notationem ad vv. 351-353

---

L

heirm. ε΄ EE 228, nr 327, Andreae cretensis

**394** Ἀνδρεῖαν L – **403** τῇδε L

**Ζ**ηλώσατε, γυναῖκες,
Φεβρωνίας πόθον τὸν τῆς γενναιόφρονος·
πῶς ὑπερεῖδεν ἅπαντα
τῶν ῥευστῶν καὶ προσκαίρων
καὶ τῷ Χριστῷ ἑαυτὴν
τῇ ἐκτομῇ τῶν ὀργάνων
ὡς θῦμα προσήνεγκεν.

*Θεοτοκίον.*

**Τ**ὸν ἕνα τῆς Τριάδος
ἐκ νηδύος βρέφος ἀτρέπτως τεκοῦσα Θεόν,
μετὰ τὸν τόκον παρθένος,
ἁγνή, διεφυλάχθης,
καὶ ὁ τεχθεὶς ἐν σαρκὶ
τῇ ὑπὲρ νοῦν οὐ προσῆψεν
τριάδι προσθήκην ποτέ.

---

**410-411** cf. VF 26F-27A – **413** cf. *AASS* Iunii V, 28E-30E: *Ὁ δὲ τρισκατάρατος καὶ παμμίαρος Σέληνος, ἐκέλευσεν τοὺς ὀδόντας τῆς ἁγίας κόρης ἐκριζεῖν, καὶ ἐπὶ τοῦ ἐδάφους ῥίπτειν. ΙΖ΄ τοίνυν ὀδόντων αὐτῆς ἐκριζωθέντων, καὶ σφοδρῶς τοῦ αἵματος ἐπὶ τῆς γῆς χεομένου, ἐκέλευσεν ὁ Σέληνος παῦσασθαι τῷ ἰατρῷ… Τότε ὁ Σέληνος κελεύει τῷ ἰατρῷ λέγων, τὰ γαλακτορυὰ τῆς ἀναισχύντου τεμνέσθω· … ὁ δὲ ἰατρὸς λαβὼν τὴν σμίλαν, καὶ ἀψάμενος τοῦ δεξιοῦ μαζοῦ τοῦ παιδὸς, ἤρξατο τέμνειν… Ἀποτμηθέντων τοίνυν αὐτῆς τῶν δύο μαζῶν… Καὶ εὐθέως κελεύει τὰς δύο χεῖρας ἀποτμηθῆναι τῆς Φεβρονίας, καὶ τὸν δεξιὸν πόδα. Εὐθέως οὖν οἱ ὑπασπισταὶ ὑποθέντες τὸ ξίλον ὑπὸ τὴν χεῖρα αὐτῆς τὴν δεξιὰν, κρούσαντες τῷ πελέκι ἀπέτεμον, ὁμοίως δὲ καὶ τὴν ἀριστερὰν, οὕτως ποιήσαντες ἀπέτεμον· ὑποθέντες δὲ τὸ ξύλον ὑπὸ τὸν δεξιὸν αὐτῆς πόδα … τρίτην δὲ πληγὴν ἐπενέγκας, μόλις ἴσχυσεν ἆραι τὸν πόδα αὐτῆς. … Θεασάμενος οὖν ὁ δικαστὴς … μετὰ πολλοῦ θυμοῦ λέγει τῷ ὑπασπιστῇ, Τέμε, ἐκκόψας δὲ καὶ τοῦτον τὸν πόδα.* Cf. Latyšev II, 101: *…τοὺς ὀδόντας αὐτῆς ἐκεῖνος ἐκριζοῦσθαι κελεύει. τούτου δὲ γενομένου … ὁ ἀνήμερος Σέληνος καὶ μαστούς, φεῦ, ἀποτμηθῆναι ταύτης κελεύει…* – **419-421** cf. ConLat 158, 228; ConCon 394

---

L

**410** ὑπερίδεν L – ἅπαντας L – **413** ἐκτομὴ L – **414** θύμα L – **420** ὑπερνοῦν L

*Ὠιδὴ στʹ. Ὡς ὕδατα θαλάσσης, φιλάνθρωπε,*
*τὰ κύματα τοῦ βίου βυθίζει με·*
*διὸ ὡς Ἰωνᾶς οὕτω βοῶ σοι·*
*«ἀνάγαγε ἐκ φθορᾶς*
*τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε».*

**Ἠ**νδρίσαντο γυναῖκες φιλόθεοι,
ἠρίστευσαν, νομίμως ἐνίκησαν
τὴν πλάνην τῶν διωκόντων τυράννων·
τὰς ἀπειλὰς γὰρ αὐτῶν
καθάπερ ὄναρ ἀπεβδελύξαντο.

**Γ**υναῖκες, τοὺς ἀγῶνας θαυμάσατε,
οἱ ἄνδρες τὴν ἀνδρείαν ζηλώσατε,
ὁρῶντες μετὰ νίκην ἀριστείαν
τῶν φιλοθέων γυναικῶν,
ἐναθλουσῶν κατὰ τοῦ ὄφεος.

**Τ**οῦ θήλεος τὴν φύσιν ἐνεύρωσεν
ὁ κτίστης τῶν ἁπάντων πρὸς ἔνστασιν,
πρὸς ἀγῶνας, πρὸς πάλην, πρὸς πῦρ, πρὸς ξίφη,
τῆς ἀσθενείας τὸ σχῆμα
f. 117v μετα/τρέψας εἰς ἀρρενότητα.

---

L

heirm στʹ EE 228, nr 327, Andreae cretensis – βυθίζει : χειμάζει L – ἰωνὰς L – οὕτω βοῶ σοι : κραυγάζω σοι, Λόγε L – εὔσπλαγχνε Κύριε : τῇ εὐσπλαγχνίᾳ σου L

**422** Ἡνδρίσαντο L – **423** ἡρίστευσαν L – **427** Γυναίκες L – **429** μετανίκην L – **432** θήλεως L – **434** πάλιν L

*Θεοτοκίον.*

**Τ**ὸν ἕνα τῆς Τριάδος τεκούσης σου
προσθήκην ἡ τριὰς οὐκ ἐδέξατο·
Θεὸς γὰρ ὁ αὐτὸς προσκυνεῖται,
διπλοῦς τῇ φύσει μένων
καὶ σὲ φυλάξας μετὰ τὸν τόκον ἁγνήν.

*Ὠιδὴ ζ'. Τῶν Χαλδαίων ἡ κάμ(ινος)*

**Τ**ῇ ἀσκήσει ἐφαίδρυνας
τὸν ἐνάρετον βίον,
τῇ ἀθλήσει ἐνίκησας
τὸν πρὶν ἀπατεῶνα·
διὸ καὶ τὸν στέφανον
διττὸν ἐπλέξω, σεμνή,
παρὰ Χριστοῦ τοῦ Θεοῦ.

**Τ**ῇ ἀνδρείᾳ ἐσέμνυνας
τὴν τοῦ θήλεος φύσιν,
τῇ φρονήσει κατέβαλες
τὸν ἀρχέκακον ὄφιν,
σωφρόνως βιώσασα,
ὁσίως ζήσασα,
μάρτυς ὁσία Χριστοῦ.

---

**452** cf. Gen 3:1-6

---

**436-437** cf. ConLat 158, 228; ConCon 394 – **449-450** cf. VF 25A: …*δείξω γὰρ ἐν σώματι θηλείας φρόνημα ἀνδρεῖον*…

---

L

**440** διπλοὺς L

heirm. ζ' EE 228, nr 327, Andreae cretensis

**445** ἀπαταιώνα L – **449** Τὴν ἀνδρείαν L – **450** θήλεως L

«Τῶν ἀγώνων ἐφέστηκεν
ὁ καιρός»· ἀνεβόων
πρὸς ἀλλήλας αἱ ἅγιαι·
«δεῦρο στῶμεν ἀνδρείως·
Χριστὸς συμμαχεῖ ἡμῖν
καὶ τοὺς στεφάνους ἐκεῖ
προευτρεπίζεται».

Τὸ ἀήττητον τρόπαιον
τοῦ σταυροῦ ὁπλισθεῖσαι,
αἱ τοῦ Λόγου μαθήτριαι
κατὰ τοῦ ἀρχεκάκου
ἀνδρείως ἐνίκησαν,
νομίμως ἤθλησαν,
καταβαλοῦσαι αὐτόν.

*Θεοτοκίον.*

Εἰ καὶ σάρκα προσέλαβεν
ἐκ σοῦ, παρθενομῆτορ,
ὁ Υἱός σου καὶ κτίστης μου,
ὡς εἷς ὢν τῆς Τριάδος,
ἀμέριστος γέγονεν
καὶ μετὰ σάρκωσιν
Θεὸς καὶ ἄνθρωπος.

---

**456-462** cf. *AASS* Iunii V, 24F-25A: *Λέγει οὖν ἡ Βρυένη, Τέκνον Φεβρονία, ἰδοὺ ἐξέρχῃ εἰς τὸν ἀγῶνα· βλέπε ὅτι ὁ οὐράνιος νυμφίος ἐφορᾷ τὸν ἀγῶνα σου, καὶ αἱ τῶν ἀγγέλων δυνάμεις κατέχουσιν τὸν τῆς νίκης στέφανον…* – **461-462** cf. TSMK 569: *…πάντες γὰρ τὴν ὁδὸν κυρίου πορεύονται καὶ πᾶσι τοὺς τῆς ἀφθαρσίας στεφάνους αὐτὸς προευτρεπίζεται…* – **463-464** τρόπαιον τοῦ σταυροῦ] cf. Gregorius Nazianzenus, *In Sanctum Pascha*, PG 36,652 – **465** cf. TSE, vol. II, ep. 403, p. 559, vv. 18-20: *Δεῦρο δὴ οὖν, θυγατέρες τῆς ἄνω Ἱερουσαλήμ, κλήματα τῆς ἀληθινῆς ἀμπέλου, μαθήτριαι ἀψευδῶς τοῦ λόγου…*

---

L

**465** αἰ L – **471** παρθενομήτορ L – **473** εἰς L – **475** μετασάρκωσιν L

*Ὠιδὴ η΄. Τὸν τοῦ παντὸς δημιουργὸν*
*καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν*
*ἱερεῖς εὐ(λ)ο(γεῖτε),*
*λα(ὸς) ὑπ(ερυψοῦτε).*

**Ἀ**ναλαβοῦσα τὸν σταυρὸν
τῷ νυμφίῳ ἠκολούθησας Χριστῷ
καὶ καθήλωσας, μάρτυς,
τὰ μέλη σου δι᾽ ἀσκήσεως.

**Ἀ**ρνησαμένη τὰ φθαρτὰ
καὶ μισήσασα τοῦ κόσμου τὰ τερπνά,
προσηλώθης τῷ πόθῳ
Κυρίου, τοῦ νυμφίου σου.

**Ἐ**ν τῇ μελέτῃ τῶν γραφῶν
f. 118r προσηλώσαντα τὸν νοῦν / ἐνδελεχῶς,
ἐθησαύρισας πλοῦτον,
τὴν γνῶσιν τὴν οὐράνιον.

---

**477** cf. Matth 16:24; Marc 8:34; Luc 9:23 – **487-488** cf. Matth 6:19

---

**478, 481-484** cf. notationem ad vv. 351-354 – **485-488** cf. *AASS* Iunii V, 19B: *...Ἐπὰν δὲ συνέβαινεν πειράζεσθαι ἑαυτὴν ὑπὸ τοῦ Διαβόλου νυκτεριναῖς φαντασίαις, ἐξανίστατο, καὶ μετὰ πολλῶν δακρύων ἱκέτευε τὸν Θεόν, ὅπως ἀποδιώξῃ ἀπ᾽ αὐτῆς τὸν πειράζοντα διάβολον· καὶ εὐθὺς τὴν βίβλον ἀναπτύσσουσα τὰς θεοπνεύστους γραφὰς ἐφιλοπόνει· φιλομαθὴς γὰρ γεναμένη ἡ νεάνις, γίνεται καὶ πολυμαθής, ὡς θαυμάζειν τὴν Βρυέννην τοσαύτην τῆς Φεβρονίας φιλομαθίαν...*

---

L

heirm. η΄: υπ(ερυψοῦτε) L – **480** διασκήσεως L

*Εἱρμὸς ἄλλος. Ὁ στεγάζων ἐν ὕδα(σι)*

**Τ**ὸν ἐνάρετον βίον σου
οἱ τῶν ἀγγέλων χοροὶ
τὸν ἐν τῇ ἀσκήσει, ὁσιομάρτυς,
ἐπεκρότουν ποτὲ
ὅτε δὲ ἤθλησας
αἵμασιν εὐσεβείας
μαρτυροῦσα μέσων τῶν ἀγώνων
ὁ δημιουργὸς τῶν ὅλων σὲ ἀνευφημεῖ.

**Τ**ῆς ψυχῆς τῷ φρονήματι
τὸ ἀσθενὲς τῆς σαρκὸς
ἐν τῇ σῇ ἀσκήσει καὶ τῇ ἀθλήσει
καθυπέταξας,
πάσχουσα, θνήσκουσα,
ξίφει ἐκτεμνομένη,
Φεβρωνία· ὢ τῆς σῆς ἀνδρείας!
ὢ τῆς καρτερίας, μάρτυς, τῶν σῶν ἀγώνων!

---

**502** cf. *AASS* Iunii V, 30F: *Τότε κελεύει ὁ Σέληνος ἀποτμηθῆναι τὴν κεφαλὴν αὐτῆς. Λαβὼν δὲ τὸ ξίφος ὁ στρατιώτης, κρατήσας τῆς κόμης τῆς κεφαλῆς αὐτῆς, καὶ ἀνακρούσας, ὑποθεὶς τὸ ξίφος, ὡς ἄντις σφαγιάσας πρόβατον, οὕτως σφαγιάσας αὐτήν, τὴν ἁγίαν αὐτῆς ἀπέτεμε κεφαλὴν…* Cf. Latyšev II, 102: *…καὶ τὴν τιμίαν αὐτῆς κεφαλὴν ἐκκοπῆναι κελεύει.*

---

L

heirm. alt. η′ EE 228, nr 327, Andreae cretensis

**494** εὐσεβεῖας L – **500** καθ᾽ὑπέταξας L

**Τ**ὸ ἀμήχανον κάλλος σου,
τοῦ ἀληθοῦς ἐραστοῦ,
ἡ ὁσία μάρτυς ἐπιποθοῦσα
ἀνεβόα, Χριστέ·
«σὲ ποθῶ, δέσποτα,
συσταυροῦμαι καὶ θνήσκω
καὶ τὰ μέλη ταῦτα σοι προσάγω,
τῷ ἀνακαινίζειν μέλλοντι τοὺς ἀνθρώπους».

*Θεοτοκίον.*

«**Ὁ** καρπὸς τῆς κοιλίας σου
εὐλογημένος ἐστίν»,
καθὼς κέκραγέν σοι ἡ συγγενής σου
Ἐλισάβετ ποτέ,
Πρόδρομον φέρουσα,
τὸν ἐν σοὶ προσκυνοῦντα
Θεὸν Λόγον, ἄνανδρε παρθένε,
μήτηρ τοῦ ἑνὸς ὑπάρχουσα τῆς Τριάδος.

---

**510** cf. Rom 6:6-8; Gal 2:19 – **513-514** cf. Luc 1:42

---

**506** cf. *AASS* Iunii V, 28F-29A: *…ἡ δὲ Φεβρονία λέγει … σπεῦδε, ἐκάλεσέ με ἐκ τοῦ πηλοῦ τοῦ σώματος τούτου, ὅτι περιμένει με ὁ ἐραστὴς μου…*

---

L

**515** συγγενῆς L

*Ὠιδὴ θ΄. Εὐλογητὸς Κύριος,*
*ὁ Θεὸς τοῦ Ἰσραὴλ*

**Ἀ**θλητικὸν ἐστήσαντο
αἱ μαθήτριαι Χριστοῦ
τὸν ἀγῶνα πίστει καὶ ἀνδρείᾳ φρενῶν
εὐτόλμως πατήσασαι τῆς ἔχθρας
τὸ κέντρον, κατ᾽ αὐτοῦ
νεανικῶς ὠθοῦσαι,
ἵνα καὶ τοῦ θήλεος
δοξασθῇ ἡ φύσις.

**Ὁ** τοῦ Ἀδὰμ ἀπόγονος
ἐν τοῖς ᾄσμασι ποτὲ
τὰς παρθένους ἔγραψεν ὀπίσω Χριστοῦ,
ἐλθούσας ἐν μύροις καὶ ᾄσμασιν,
μηνύων τὰς μύστιδας αὐτοῦ
τοῖς τῶν αἱμάτων ῥείθροις
f. 118v ὡς θείοις / ἀρώμασιν
αὐτῷ ὑπαντῶσας.

**Ε**ἴδη βασάνων ἅπαντα
καὶ στρεβλώσεις χαλεπὰς
ἡ ἁγία μάρτυς καρτεροῦσα στερρῶς,
ὡς ἄκμων ἀνήλατος ἕστηκεν,
ὁρῶσα τεμνόμενα αὐτῆς
κατ᾽ ὀφθαλμοὺς τὰ μέλη
καὶ ὅλην ἐν μέρεσιν
ὁλοκαρπουμένην.

---

**537-544** cf. notationem ad v. 413

---

L

heirm. θ΄ EE 228, nr 327, Andreae cretensis

**522** αἰ L – μαθήτριες L – **524** εὐτόλμω L – **525** καταὐτοῦ L – **526** ὠθοῦσαι L – **527** θήλεως L – **531** ὀπίσω L – **535** θεῖοις L – **542** κατοφθαλμοὺς L

**Τ**ὰ κατὰ μέρος τμήματα
τῶν ἐνδόξων σου μελῶν
καθορῶσα ἔχαιρεν ἡ μάρτυς Χριστοῦ,
προθύμως τοὺς πόδας ἐκτείνουσα,
τὰς χεῖρας προσάγουσα στερρῶς
ἐπὶ τὴν διὰ ξίφους
τομὴν καὶ διαίρεσιν
ὡς θυσία ζῶσα.

*Θεοτοκίον.*

**Χ**αῖρε, Μαρία ἄμωμε!
χαῖρε, δέσποινα ἁγνή!
χαῖρε, μόνη μήτηρ τοῦ ἀνάρχου Υἱοῦ,
δι᾽ ἧς ὁ Ἀδὰμ ἀνακέκληται!
χωρίον τοῦ πάντων ποιητοῦ,
χαῖρε, καὶ βασιλέως!
χαῖρε, ἡ ἀνοίξασα
παραδείσου πύλας!

---

**552** cf. Rom 12:1

---

**548** cf. *AASS* Iunii V, 30E: …*ἡ δὲ Φεβρονία ὅλῳ τῷ σώματι σύντρομος γενομένη, καὶ μέλλουσα λοιπὸν ἐκλιμπάνειν, ἐβιάζετο καὶ τὸν ἕτερον πόδα ἐπὶ τοῦ ξίλου ἐπιθῆναι, ἀξιοῦσα καὶ τούτον ἀφαιρεθῆναι*…

---

L

**545** καταμέρος L – **549** χείρας L – **550** ἐπι L – διαξίφους L – **552** ζωσα L – **553, 554, 555, 558, 559** χαίρε

*Ἐξαποστειλάριον.*
*<Ἦχος γʹ.> Πρὸς Ἐπεσκέψατο ἡμᾶς*

**Κ**αὶ ἀγωγαῖς ἀσκητικαῖς
ἐχθρῶν καταπαλαίσασα
καὶ μαρτυρίῳ φρικώδει,
ἐστεφανώθης δι᾽ ἀμφοῖν
καὶ ζῇς μετὰ θάνατον,
Φεβρωνία παρθένε,
καὶ νῦν εὐφημοῦμέν σε.

---

L

heirm. exap. MV IV, 202; Chr-Par 112 – incipit exap. ed. in EfstrTam, 51 (1952) 34 (ex cod. G, f. 115r) – **563** φρικώδη L – **564** διαμφοῖν L

## 26
## In s. Davidem Thesalonicensem
(vv. 1-73, 92-303)

## In s. Davidem Thesalonicensem et s. Joannem Episcopum Gothiae
(vv. 74-91, 304-375)

*Μηνὶ τῷ αὐτῷ κστ′ τοῦ ὁσίου Δαβὶδ Θεσσαλονίκης καὶ τοῦ ὁσίου Ἰωάννου, ἐπισκόπου Γοτθίας.*

*Κάθισμα.*
*Ἦχος πλ. α′. Πρὸς Τὸν συνάναρχον Λόγον*

**Φ**υτευθεὶς ὥσπερ ξύλον,
πάτερ μακάριε,
δι᾽ εξόδοις ὑδάτων
τῶν τῆς ἀσκήσεως
συνεργίᾳ θεϊκῇ,
καρποὺς τῶν πόνων σου
ἐν καιρῷ περιφανῶς
τῷ φυτουργῷ καὶ ποιητῇ
ἀπέδωκας· διὰ τοῦτο
τὴν ἁγίαν ὑμνοῦμεν
μνήμην τιμῶντες σέ, Δαβὶδ ὅσιε.

---

L

**Tit.** δα(βὶ)δ L

heirm. kath. PaAD, 483; HAD 481 – Incipit kath. ed. in EfstrTam, 51 (1952) 37 (ex codd. Pb, f. 176r; Pc, f. 59r; Paris. gr. 13, f. 320v; Paris. gr. 1569, f. 138v; G, f. 116r; Athon. Laurae Δ10)

**3** διεξόδοις L – **5** συνεργεῖα L – θεικὴ L – **8** ποιητὴ L

*Τὸ κονδάκιον.*
*Ἦχος γʹ. Πρὸς ἡ Παρθένος σήμε(ρον)*

**Ἐ**γκρατείᾳ ἅπαντα
τὰ τῆς σαρκὸς χαλινώσας,
f. 119r τῶν / παθῶν τὸ σύστημα
ἐν ἑαυτῷ ταπεινώσας,
ἔσπευσας
σαυτὸν ἐν δένδρῳ καλιὰν πήξας,
πτέρυγας
κεχρυσωμένας, πάτερ, ἐκτήσω,
χελιδόνος τάξιν ἔχων,
ἡδύνων πάντας
τοῖς θείοις λόγοις σου.

---

**12-15** cf. SynaxEC 771; AASS Iunii V 177A; Menol 512; MV X, 95: *Ἐξ ἁπαλῶν γὰρ ὀνύχων ἐγκρατείᾳ καὶ ἁγνείᾳ τὰ πάθη τῆς σαρκὸς ὑποτάξας…* Cf. VD 4:1-5: *…καὶ διαβιῶν ἐν ταύτῃ* (sic) *τῇ μονῇ πολλὴν ἔθετο σπουδὴν ἐν τῇ ἀσκήσει γαστρός τε κρατῶν καὶ τύφου καταφρονῶν, γινώσκων αὐτὸς ὅτι ὁ τῆς γαστρὸς κόρος οὔτε ἀγρυπνεῖν οἶδεν οὔτε σωφρονεῖν καὶ ὁ τύφος ἠρεμεῖν οὐκ ἀνέχεται, ἡ δὲ ἀρετὴ ἄνευ ἐγρηγόρσεως καὶ ἁγνείας καὶ ταπεινοφροσύνης κατορθωθῆναι οὐ δύναται…*; Latyšev II, 103: *…ἤδη τὴν πρώτην ἡλικίαν ἐπαναβαίνων οὐ πρὸς νέων ἔβλεψεν ὁρμάς, οὐ φαντασίαις βίου καὶ δόξαις τὸ παράπαν τὸν νοῦν ἀπησχόλησεν, οὐ πρός τι τῶν τοῦ κόσμου ἑαυτὸν κἂν ποσῶς ἐπιδέδωκεν, ἀλλ᾽ ὅλος ἀρετῶν γενόμενος ἐργαστήριον ἐκ πρώτης αὐτῆς ἡλικίας τοῖς τοῦ Θεοῦ ναοῖς ἀδιαλείπτως ἐσχόλαζε, νηστείας ἐπεμελεῖτο καὶ ἀγρυπνίας…* – **18-22** cf. SynaxEC 771; *AASS* Iunii V 177A; MV X, 95: *Καλιὰν … πηξάμενος ἐν ἀμυγδαλῆς φυτῷ, ὡς ὄρνις εὐκέλαδος…* Cf. Latyšev II, 104: *…φυτοῦ τινὸς ὑπεραναβὰς (ἀμυγδάλην τοῦτό φασί τινες), ἐν αὐτῷ τὴν σκηνὴν πήγνυται καὶ πρὸς ὕψος θείων θεωριῶν ἐπανάγεται…*; VM 4:26-5:3: *…ταῦτα καὶ τὰ τοιαῦτα διανοούμενος ὁ ὅσιος πατὴρ ἡμῶν Δαβίδ, κατενύγη ἡ καρδία αὐτοῦ φόβῳ θεοῦ καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων "Δαβὶδ ὁ βασιλεὺς καὶ θεράπων τοῦ θεοῦ τριετῆ χρόνον ἠτήσατο ἵνα δοθῇ αὐτῷ χρηστότης καὶ παιδεία καὶ σύνεσις, καὶ οὕτως μετὰ τριετῆ χρόνον εἰσήκουσεν ὁ θεὸς τῆς δεήσεως αὐτοῦ. δεῖ κἀμὲ τριετῆ χρόνον καθίσαι ἐν τῷ δένδρῳ τούτῳ, ὅπως ὁ κύριός μου Ἰησοῦς ἀποκαλύψῃ μοι καὶ ἐπίδῃ ἐπὶ τὴν ταπείνωσίν μου, καὶ δώσει* (sic) *μοι σύνεσιν καὶ ταπείνωσιν τοῦ δουλεύειν αὐτῷ ἐν φόβῳ καὶ τρόμῳ." καὶ ταῦτα εἰπὼν καὶ εὐξάμενος ἐπὶ ἱκανὰς ὥρας, ἐκαθέσθη ἐπὶ τῷ δένδρῳ ὃ ἦν ἐγγύθεν κατὰ το δεξιὸν μέρος τῆς ἐκκλησίας ἱστάμενον, ὄνομα τούτῳ ἀμυγδαλέα, τὸν ἄλλον Δαβὶδ μιμούμενος τοῖς τρόποις…*

---

L

heirm. kont. Grosdidier de Matons, *Hymnes* III, 50

**12** Ἐγκρατία L – **20** χελιδώνος L – **21** ἰδύνων L

*Ὁ οἶκος.*

**Ὁ** χρωτός σου, σοφέ,
μυρίζει ὡς θυμίαμα
καὶ τὰ θαύματά σου
((μυρίζει τὰ πέρατα
καὶ νόσων ποικίλων
ψυχῶν καὶ σωμάτων))·
ὅθεν ὁ τάλας κἀγὼ πεπήραμαι,
ῥυσθεὶς τῶν θλιβόντων με·
καὶ διὰ τοῦτο τὴν σὴν βοήθειαν
νῦν ἀνευφημῶ,
ἐκδιηγοῦμαι τρανῶς,
πῶς ἐπιφθάνῃς
τοῖς ἐν ἀνάγκαις
καὶ ἐκλυτροῦσαι πειρασμῶν
τοὺς προσιόντας σοι πιστῶς.

*Στιχηρά.*
*Ἦχος πλ. δʹ. Πρὸς Ὢ τοῦ παραδόξου θαύματ(ος)*

38-49 **Π**άτερ Δαβὶδ παμμακάριστε ………………… = MV X, 93.
50-61 **Κ**αθάπερ ὄρνις εὐκέλαδος …………………... = MV X, 93.
62-73 **Θ**είῳ ἀπαθείας ἄνθρακι …
f. 119v … πλουτήσας / χάριτι. ………..………… = MV X, 93.

---

**25-28** cf. SynaxEC 771 et MV X, 95: *…τῶν θαυμάτων πλουτήσας τὴν ἐνέργειαν, στῦλος ὤφθη φωτοειδέστατος, πάντας καταφωτίζων τοῖς θαύμασι…*; *AASS* Iunii V 177A: *…τῶν θαυμάτων ἐπλούτησε τὴν ἐνέργειαν…*; Menol 513: *καὶ πολλὰ κατορθώματα καὶ θαύματα ποιήσας…*; MV 7:25-27: *…τοσαύτη δὲ χάρις ἐδόθη, ἀγαπητοί, τῷ ὁσίῳ Δαβὶδ ὥστε καὶ δαίμονας ἐξελαύνειν καὶ νοσοῦσιν ὑγείαν παρέχειν ἐπικαλούμενον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν…*; Latyšev II, 104: *…πολλὰ διηνέργησε θαύματα. δαίμονας γὰρ ἐξ ἀνθρώπων ἀπήλασε, νόσους αὐτῶν παντοίας ἰάσατο…*

---

L

**23** χρωτόσου L – **24** μυρίζη L – **26** μυρίζη L – **29** καγὼ L – **30** ῥυσθῆς L

*Ἄλλα.*
*Ἦχος γʹ. Πρὸς Ὁ τῷ πάθει σου, Χριστέ, ἀμαυρώ(σας)*

**Ἀ**παθείας τὴν στολὴν
περιθέμενος, ὅσιε,
τῷ ποιητῇ ἁγνῶς ἱερούργησας
καὶ λαοὺς ἐφώτισας,
δοξάζοντας αὐτὸν
εὐεργέτην Κύριον.

*Ὅμοιον.*

**Τ**ῆς ἀσκήσεως, σοφέ,
τῇ μαχαίρᾳ ἀπέτεμες
τὴν κεφαλήν, ὡς Δαβίδ, τὴν τοῦ ὄφεως
καὶ ἄτρωτος ἔμεινας,
τούτου προσβολαῖς
ὥσπερ ξίφεσι περιβαλλόμενος.

---

**81-82** ἀπέτεμες τὴν κεφαλὴν ὡς Δαβὶδ: cf. I Reg 17:51

---

**80-85** cf. VM5:3-14: *…τὸν ἄλλον Δαβὶδ μιμούμενος τοῖς τρόποις. ἐκεῖνος γὰρ βασιλεὺς ὢν καὶ συνάψας πόλεμον μετὰ τῶν ἀλλοφύλων, ἐξῆλθεν ἐνωπλισμένος ὁ Γολιὰθ καλῶν τὸν βουλόμενον μονομαχῆσαι, ὁ δὲ θεράπων τοῦ θεοῦ Δαβὶδ μήτε ὅπλα λαβὼν πρὸς τὴν ἐκείνου κίνησιν ἐξῆλθεν, λαβὼν μεθ᾽ ἑαυτοῦ τρεῖς λίθους, προτύπωμα τῆς ἁγίας τριάδος πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ οὕτως τῇ ταπεινοφροσύνῃ ἔχων τὸν θεὸν μεθ᾽ ἑαυτοῦ, ἀπολύσας τὸν λίθον τῇ σφενδόνῃ παραχρῆμα τὸν Γολιὰθ ἀπέκτεινε. τὸν αὐτὸν οὖν τρόπον καὶ οὗτος ἀναλαβόμενος ὁ ὅσιος πατὴρ ἡμῶν τὴν ταπεινοφροσύνην, ἑαυτὸν σταυρώσας ἐν τῷ δένδρῳ τὸν διάβολον ἐνέκρωσε καὶ ἀνίσχυρον ἀνέδειξε, τὸ τοῦ κυρίου ῥητὸν φυλάξας "ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν"…*

---

L

heirm. stich. PentV, 14 – **76** ποιητὴ L – ἁγνῶς L – **82** δα(βὶ)δ L

*Ὅμοιον.*

**Ὁ** δοξάσας ἐπὶ γῆς
τοὺς ὁσίους σου, Κύριε,
ὡς ἀγαθὸς καὶ ἡμᾶς οἰκτείρησον
βοῶντας καὶ λέγοντας·
«πρόσδεξαι ἡμῶν
τὰς δεήσεις, πανεύσπλαγχνε δέσποτα».

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Ὑμνῶ, μάκαρ, σου τὸν βίον θείοις λόγοις· <Ἰωσήφ>.*

*Ὠιδὴ α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην*

92-98 **Ὕ**μνοις τὴν φωτοφόρον .......................... = MV X, 94.
99-105 **Μ**έλη νεκρώσας, πάτερ .......................... = MV X, 94.
106-112 **Ν**όμοις τοῖς τοῦ δεσπότου ........................ = MV X, 94.
113-119 *Θεοτ.* **Ὤ**φθης ὡραϊσμένη ........................ = MV X, 94.

*Ὠιδὴ γ΄. Ὁ πήξας ἐπ᾽ οὐδενὸς*

f. 120r 120-125 / **Μ**αράνας δι᾽ ἐγκρατείας ........................ = MV X, 94.
126-131 **Ἁ**γίων ἰχνηλατῶν ................................. = MV X, 94.
132-137 **Κ**οιμίσας τὰς ἡδονὰς .............................. = MV X, 94.
138-143 *Θεοτ.* **Ἀ**γγέλων τιμιωτέρα ....................... = MV X, 94.

*Ὠιδὴ δ΄. Τὴν θείαν ἐννοήσας σου κέ(νωσιν)*

144-148 **Ῥ**ημάτων ζωηρρύτων τοῦ Πνεύματος ......... = MV X, 94.
149-153 **Σ**υνέσεως καὶ χάριτος ἔμπλεως ............ = MV X, 94-95.
154-158 **Ὁ** βίος σου τῇ βίᾳ τῆς φύσεως .................. = MV X, 95.
159-163 *Θεοτ.* **Ὑ**μνοῦμεν σε, πανύμνητε δέσποινα ... = MV X,95.

---

**86-87** cf. Ps 15:3

| | | | |
|---|---|---|---|
| f. 120v | | / *Ὠιδὴ ε΄. Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτ(ιον)* | |
| | 164-168 | **Τ**είνας σου τὰ ὄμματα ………………………… | = MV X, 95. |
| | 169-173 | **Ὅ**λος ἀστραπόμορφος ……………………….. | = MV X, 95. |
| | 174-178 | **Ν**ῦν οὐκ ἐν αἰνίγματι …………………………. | = MV X, 95. |
| | 179-183 | **Β**ότρυς ὡραιότατος ……………………………. | = MV X, 95. |
| | 184-188 | *Θεοτ.* **Ἴ**θυνον τὸν βίον μου ………………….. | = MV X, 95. |
| | | *Ὠιδὴ στ΄. Μαινομένην κλύδωνι* | |
| | 189-193 | **Ο**ἶκος θείου Πνεύματος ………………………. | = MV X, 95. |
| | 194-198 | **Ν**όμοις καθυπέκλινας ……………………….. | = MV X, 95. |
| | 199-203 | **Θ**αύμασιν ὁ βίος σου …………………………. | = MV X, 95. |
| | 204-208 | *Θεοτ.* **Ἐ**ξ ἁγνῶν αἱμάτων σου ………………. | = MV X, 95. |
| | | *Ὠιδὴ ζ΄. Ὁ ὑπερυψούμενος* | |
| f. 121r | 209-214 | **Ἵ**στασο ἀκίνητος … δα/κρύων ……………… | = MV X, 95. |
| | 215-220 | **Ὅ**λην σου τὴν ἔφεσιν ………………………… | = MV X, 95. |
| | 221-226 | **Ἴ**θυνας τὸν βίον σου ………………………….. | = MV X, 96. |
| | 227-232 | **Σ**ὲ φωτοειδέστατον …………………………… | = MV X, 96. |
| | 233-238 | *Θεοτ.* **Λ**έλυται τῷ τόκῳ σου …………………. | = MV X, 96. |
| | | *Ὠιδὴ η΄. Σοὶ τῷ παντουργῷ* | |
| | 239-244 | **Ὄ**ρθρος φαεινὸς ………………………………. | = MV X, 96. |
| | 245-250 | **Γ**έγονας εὐθὺς ………………………………… | = MV X, 96. |
| | 251-256 | **Ὁ** θεοφεγγὴς ………………………………….. | = MV X, 96. |
| | 257-262 | **Ἱ**εροπρεπὴς ……………………………………. | = MV X, 96. |
| | 263-268 | *Θεοτ.* **Σ**ὲ τὴν καλλονὴν ………………………. | = MV X, 96. |
| f. 121v | | / *Ὠιδὴ θ΄. Ἡσαΐα χόρευε, ἡ παρθένος ἔσχεν (ἐν γαστρὶ)* | |
| | 269-275 | **Ἱ**ερὰν πανήγυριν …………………………….. | = MV X, 96. |
| | 276-282 | **Ὥ**σπερ δένδρον τέθηλας ……………………. | = MV X, 96. |
| | 283-289 | **Σ**οῦ προφητικώτατα ………………………........ | = MV X, 96. |
| | 290-296 | **Ἡ** ἁγία μνήμη σου ………………………….... | = MV X, 96. |
| | 297-303 | *Θεοτ.* **Φ**ωτοφόρον πύλην σε ………………... | = MV X, 96. |

*Ἕτερος κανὼν τοῦ ὁσίου Ἰωάννου καὶ τοῦ ὁσίου Δαβίδ, <οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς θεοτοκίοις· [Γεωργ]ίου>.*

*Ὠιδὴ α′. Ἦχος γ′. Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ (ἐκ δουλείας)*

**Τ**ῷ τοῖς ὁσίοις τοῦ Παρακλήτου τὴν χάριν
καὶ δύναμιν ἔνθεον παρασχομένῳ
ᾄσωμεν τῷ σωτῆρι Χριστῷ,
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

**Ὡ**ς ἑωσφόρος ἐν ἀφεγγέσιν ἐκλάμψας
τόποις, παναοίδιμε, τούτους τῷ φέγγει
τῶν λόγων καὶ τῶν ἐνθέων σου ἔργων
ηὔγασας πόθῳ, ὑμνῶν τὸν εὐεργέτην.

[… … *Ὠιδαὶ β′ – στ′* … …]

[*Ὠιδὴ ζ′. Τρεῖς παῖδες ἐν καμίνῳ*

- -′ - - -′ -
- - -′ - - -′ - -
f. 122r - - ] / λάμψας, Ἰωάννη, κατεφώτισας
τοὺς ἀνθρώπους βοῶντας·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

---

**306-307** EE 78, nr. 110, vv. 3-4 – **308-309** cf. Matth 4:16; Luc 1:79; Is 58:10 – **316-317** EE 79, nr. 111, vv. 44-45 [cf. Dan 3:26, 52]

---

L

**Tit. kan**. δα(βὶ)δ L

heirm. α′ EE 78, nr. 110, Germani patriarchae

**307** ὅτι – αἰῶνας om. L – **308** ἐναφεγγέσιν L

heirm. ζ′ EE 79, nr. 111, Germani patriarchae

**316-317** εὐ(λ)ο(γητὸς - ἡμῶν) L

**Τ**ὸ τῆς ἱερουργίας
κατεκόσμησας ἔνδυμα
ἀρεταῖς καθάπερ λίθοις  πολυτίμοις, σοφέ,
καὶ Χριστῷ ἀνεβόας·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

**Κ**ρουνοῖς τοῖς τῶν δακρύων
καθ᾽ ἑκάστην λουόμενος,
ἀπελύθης, ἐλαμπρύνθης, Δαβὶδ ὅσιε,
καὶ Χριστῶ ἀνεβόας·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

*Θεοτοκίον.*

**Ἰ**σχύι σου, παρθένε,
δυναμοῦσα, κρατύνουσα,
τοὺς πιστῶς σε ἀνυμνοῦντας καταξίωσον
εὐσθενῶς ἀναμέλπειν·
«εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν».

---

**322-323, 328-329, 334-335** EE 79, nr. 111, vv. 44-45 [cf. Dan 3:26, 52]

---

L

**322-323** εὐ(λ)ο(γητὸς - ἡμῶν) L – **325** καθεκάστην L – **326** δα(βὶ)δ L – **328-329** εὐ(λ)ο(γητὸς - ἡμῶν) L – **334-335** εὐ(λ)ο(γητὸς - ἡμῶν) L

*Ὠιδὴ η΄. Τὸν ἐν φλογὶ τοῖς παισὶ (τῶν Ἑβραίων)*

**Ἐ**ν νοηταῖς θεωρίαις τὸ ὄμμα
τὸ τῆς ψυχῆς σου ἐκτενῶς ἀνατείνων,
Ἰωάννη ὅσιε,
ἐναπήλαυες θείας
δόξης τε καὶ θέας
τῆς ὑπὲρ νοῦν καὶ λόγον.

**Ὡ**ς γεωργὸς τῆς Χριστοῦ ἀληθείας
τὴν ἀκαρπίαν τῶν ἐθνῶν, ἱεράρχα,
καρποφόρον ἔδειξας
ἀρετῶν τῶν ἐνθέων,
λόγοις γεωργήσας
ταύτην τῆς εὐσεβείας.

**Β**έλη ἐχθρῶν πυρπολοῦντα τῇ δρόσῳ,
Δαβίδ, κατέσβεσας ἐγκρατείας καὶ πόνοις
καὶ Χριστῷ ἐκραύγαζες·
«ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας».

---

**342** cf. Marc 4:3-8; Luc 8:5-8 – **343-344** cf. Matth 21:43 – **351-353** EE 78, nr. 110, vv. 38-40 [cf. Dan 3:84]

---

L

heirm. η΄ EE 78, nr. 110, Germani patriarchae

**339** θεῖας L – **340** τὲ L – **341** ὑπερνοῦν L – **349** δα(βὶ)δ L – ἐγκρατεῖας L – **351-353** ἱερεῖς (εὐλογεῖτε – αἰῶνας) L

*Θεοτοκίον.*

**Ὁ** ἐκ Πατρὸς συναΐδιος Λόγος
καὶ ὁμοούσιος ἐπ᾽ ἐσχάτων τῶν χρόνων
ἐκ σοῦ, θεονύμφευτε,
ἀπορρήτως ἐτέχθη
σαρκί, ἵνα σώσῃ
ἡμᾶς τοὺς σὲ ὑμνοῦντας.

*Ὠιδὴ θʹ. Σὲ τὴν ἀκατάφλεκτον βάτον*

**Ὄ**ρει ἀρετῶν, θεοφόρε,
ἐπιβάς, Ἰωάννη,
θεοπτίας νοητῶς κατηξιώθης
καὶ τῇ αἴγλῃ τῇ ταύτης φαιδρῶς κατηγλάισαι.

**Ἔ**χων τὸν Χριστὸν ἐν τῇ γλώσσῃ
σοῦ φθεγγόμενον, πάτερ,
ἐν τοῖς λόγοις δυνατὸς ἐδείχθης πᾶσιν,
ἐν τοῖς ἔργοις τούτους πιστώσας, παμμακάριστε.

---

**354-355** cf. ConCon, 812 – **360-363** cf. Exod 34:29-35

---

L

**355** ἐπεσχάτων L

heirm. θʹ EE 79, nr. 111, Germani patriarchae

**360** Ὅρει L – **363** αἴγλη L – κατηγλάϊσαι L

**Σ**ὺ τῶν ἀρετῶν ἀναβάσεις
ὑποθέμενος, πάτερ,
f. 122v πρὸς / οὐράνιον, Δαβίδ, ὕψος ἀνήχθης,
ἀνυμνῶν τὸν σωτῆρα Χριστὸν πάντων Κύριον.

*Θεοτοκίον.*

**Ὑ**πὲρ τῆς ἡμῶν σωτηρίας
ὁ τῶν ὅλων δεσπότης
ἐκ σοῦ τίκτεται σαρκὶ ὡς ἐλεήμων·
διὰ τοῦτο, ἁγνή, πόθῳ πάντες σὲ δοξάζομεν.

---

L

**370** δα(βὶ)δ L – **372** Ὑπερ L

## 27
## In s. Samsonem *Xenodochum*

*Μηνὶ τῷ αὐτῷ κζʹ τοῦ ὁσίου Σαμψὼν τοῦ ξενοδόχου.*

*Κάθισμα.*
*Ἦχος αʹ. Πρὸς Τὸν τάφον σου, σωτὴρ*

1-11 **Κ**τησάμενος ψυχὴν ἐλεήμονα, πάτερ ……… = MV X, 97.

*Ἄλλον.*
*Ἦχος δʹ. Πρὸς Ταχὺ προκατάλαβε*

**Ἡ**τοίμασας τοῖς κάμνουσιν
οἶκον σωτήριον
ἐν ᾧ νῦν καταφεύγοντες
πάντες σωζόμεθα,
Σαμψὼν παμμακάριστε·
ὅθεν πηγὴ θαυμάτων
καὶ ἰάσεων ὤφθης,
βρύων ἀδιαλείπτως
τὴν οὐράνιον χάριν·
διό σου τὰ μνημόσυνα
πίστει δοξάζομεν.

---

**12-13** cf. PG 115, 289A: …*οἶκον τοῖς νόσῳ κάμνουσιν αὐτὸς ἐγερεῖς*…; cf. Latyšev II, 106: …*οἶκον τοῖς νόσῳ κάμνουσιν ἐπιτήδειον ἀνεγεῖραι τὸν βασιλέα καλῶς ἀξιοῖ*… [cf. VSX 12-14; PG 115, 288D-289B; SynaxEC 775; Menol 513; MV X, 98] – **16-17** cf. PG 115, 281A, 292A; Latyšev II 107-112; VSX 15; SynaxEC 776; Menol 513; MV X, 98

---

L

heirm. kath. PaAD, 419-420 – **12-22** Incipit kath. ed. in EfstrTam, 51 (1952) 41 (ex codd. Pc, f. 61v; Sin. gr. 637) – **13** οἶκον L – **17** πηγὴ[[ν]] L – **18** ἱάσεων L

*Τὸ κονδάκιον.*
*Ἦχος πλ. δʹ. Πρὸς Ὡς ἀπαρχὰς (τῆς φύσεως)*

23-31 **Ὡ**ς ἰατρὸν πανάριστον καὶ λειτουργὸν …
………………. = TRM σκʹ; MV X, 98; AmphKond 125.

*Ὁ οἶκος.*

**Τ**ὸν πρεσβύτην τὸν πρᾶον καὶ ἄκακον,
τὸν ἀμέμπτως τὸν βίον τελέσαντα,
τὸν ἐν νόσοις τὴν χάριν δεξάμενον
τῶν θαυμάτων βεβαίαν
καὶ ἄρρητον,
Σαμψὼν τὸν ὅσιον εὐφημήσωμεν,
f. 123r / τῶν πεινώντων τροφέα
καὶ τῶν ἐν ἀνάγκαις
βοηθὸν καὶ ἐπίκουρον μέγιστον·
τοῖς νοσοῦσι γὰρ ἤγειρεν θεῖον ναόν.

*Ἀνακλώμενον*: Τῶν ἰάσεων.

*Στιχηρά.*
*Ἦχος αʹ. Πρὸς Πανεύφημοι μάρτυρες, (ὑμᾶς)*

43-52 **Π**άτερ πανεύφημε, σαρκὸς ………………….. = MV X, 96.

---

**38-40** cf. PG 115, 282D: *…τὴν γὰρ οἰκίαν ταύτην φιλανθρωπίας ὑπόθεσιν καὶ ἰατρεῖον ἄμισθον ποιησάμενος, τοὺς νόσῳ πιεζομένους ξενίζων ἦν καὶ φιλαδέλφως ὑποδεχόμενος, καὶ μὴ μόνον ἐπιμελείας ἀξιῶν πάσης, ὥσπερ οἱ τῆς τέχνης βούλονται νόμοι, ἀλλὰ καὶ τροφῆς κοινωνῶν καὶ στρωμνῆς…* [cf. Latyšev II, 105: 21-26; VSX 10] – **41** cf. notationem ad vv. 12-13

---

L

**32-42** ed. in AmphKond, 125; incipit ed. in EfstrTam, 51 (1952) 41 (ex codd. Paris. gr. 13, f. 321v; Pc, f. 61v; Paris. gr. 1569, f. 141v; Paris. gr. 1576, f. 94v; G; Gc; Ge; Athon. Laurae Δ42; Athon. Laurae Θ43; Athon. Laurae K182; Athon. Laurae Δ147; Athos Vatop. 1041, f. 153r) – **32** πράον L AmphKond – **34** ἐν νόσοις : ἐνδόξως AmphKond – **38** πεινόντων L – τῶν πεινῶν τῶν τροφέα (-ὴν) AmphKond – **39** τὸν L – ἐναναγκαις L : ἐν ἀνάγκες AmphKond – **41** γὰρ ἤγειρεν : ἀνήγειρεν AmphKond – **42** rubr. in L

53-62 **Π**άτερ θεόσοφε Σαμψὼν .......................... = MV X, 96.
63-72 **Π**άτερ θεόπνευστε φωστὴρ ....................... = MV X, 96.

*Ἄλλα.*
*Ἦχος β′. Πρὸς Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν*

**Β**ίον τῶν ἀγγέλων ἐπὶ γῆς
ἐπαναλαβόμενος, πάτερ,
νοὸς λαμπρότητι,
ἔσχες ἐλεήμονα
καρδίαν, ὅσιε,
καὶ πτωχοῖς ἐπαρκούμενος
νοσοῦσιν εἰργάσω
μέγιστον προσφύγιον,
ἐν ᾧ προστρέχοντες
λύσιν νοσημάτων καὶ πόνων
πάντοτε λαμβάνουσιν· ὅθεν
νῦν ἐν εὐφροσύνῃ σὲ δοξάζομεν.

*Ὅμοιον.*

**Σ**ώφρων καὶ πραότατος ὀφθεὶς
τῆς ἱερωσύνης ἐχρίσθης
χρίσμα πανίερον·
ὅθεν τὸν πανάγαθον,
καθέδρᾳ ᾔνεσας

---

**76-77** cf. PG 115, 281B: *…ἡλικιῶτις γὰρ αὐτῷ καὶ σύντροφος ἄχρι τέλους ἡ ἐλεημοσύνη…* – **78** cf. Latyšev II, 105: *…ἑνὶ μὲν χιτῶνι, ἑνὶ δὲ καὶ τῶν οἰκετῶν ἀρκούμενος…* – **80-81** cf. notationem ad vv. 12-13 – **85-87** cf. PG 115, 284A: *…Ἐντεῦθεν καὶ τῷ τηνικαῦτα ἀρχιερεῖ τοῦ Χριστοῦ δῆλος γίνεται … καὶ ἱερεὺς ὑπ᾽ ἐκείνου χειροτονεῖται τριάκοντα ἤδη γεγονὼς ἔτη, καὶ μικρόν τι πρός.* [cf. Latyšev II 105; VSX 10; SynaxEC 774; Menol 513; MV X, 98]

---

L (et in vv. 73-108 O)
heirm. stich. Triod, 472; Chr-Par 67 – **73-108** Inc. stich. ed. in EfstrTam, 51 (1952) 39 (ex codd. P, f. 132r; Paris. gr. 13, f. 321r) – **73** τὸν O — **84** ἐνευφροσύνη L – **85** ὤφθης L : ὠφθῆς O

πρεσβυτέρων, πανόλβιε,
καρδίας φωτίζων
τῶν προσερχομένων σοι
νοὸς εὐθύτητι·
πάσης ἀσθενείας καὶ πόνου
τούτους καὶ τῶν θλίψεων ῥῦσαι
ἐν ταῖς πρὸς τὸν Κύριον πρεσβείαις σου.

f. 123v / *Ὅμοιον.*

**Μ**έγας ἰατρὸς ὑπὸ Θεοῦ
τοῖς ἐν ἁμαρτίαις νοσοῦσιν
δοθείς, πανθαύμαστε,
μέγιστον ἀνήγειρας
νοὸς εὐθύτητι
ἰατρεῖον τοῖς κάμνουσιν,
ἐν ᾧ πᾶς προστρέχων,
ὅσιε, κατώδυνος
λύσιν κομίζεται
πάσης ἀσθενείας καὶ πόνου,
σὲ χρεωστικῶς μακαρίζων,
πάνσοφε Σαμψὼν μακαριώτατε.

---

**100-102** cf. notationem ad vv. 12-13

---

L (et in vv. 73-108 O)

**91** καρδίαις O – **94-96** μάκαρ· τῶν ἁγίων ἁπάντων· ἀπ[ὸ] τοῦ αἰῶνος λαμψάντων· χάριτι συ[μ]μέτοχος γενόμενος O – **97** ἱατρὸς L – **98** τ[ο]ῖς O – ἐναμαρτία[ι]ς O – νοσουσιν L – **99** – παν[θ]α[ύμ]ασ[τ]ε O – **102** ἱατρεῖον L – **104** κατόδυνος L

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Ὑμνῶ σε, Σαμψών, πίστεως θείοις λόγοις· Ἰωσήφ.*

*Ἰωσήφ.*

*Ὠιδὴ α′. Ἦχος β′. Δεῦτε λαοί,*
*ᾄσωμεν ᾆσμα Χριστῷ (τῷ Θεῷ)*

| | | |
|---|---|---|
| 109-115 | **Ὕ**μνοις τὴν σὴν ……………………………... | = MV X, 97. |
| 116-122 | **Μ**όνα ποθῶν …………………………………… | = MV X, 97. |
| 123-129 | **Ν**όμῳ Θεοῦ ……………………………………... | = MV X, 97. |
| 130-136 | **Ὤ**φθης πτωχῶν ……………………………... | = MV X, 97. |
| 137-143 | *Θεοτ.* **Σ**ὲ τοῦ Θεοῦ ……………………………... | = MV X, 97. |

*Ὠιδὴ γ′. Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε*

| | | | |
|---|---|---|---|
| | 144-147 | **Ἐ**λέῳ τοῦ Θεοῦ τὸ θεῖον … | |
| f. 124r | | … καλούσης σε / πρὸς …………………… | = MV X, 97. |
| | 148-151 | **Σ**αμψὼν τὸν ἱερὸν ἀνευφημήσωμεν ………... | = MV X, 97. |
| | 152-155 | **Ἁ**γίως καὶ σεπτῶς τὸν θεῖον βίον σου ……… | = MV X, 97. |
| | 156-159 | **Μ**ακάριος εἶ σὺ καὶ εὖ σοι γέγονεν …………. | = MV X, 97. |
| | 160-163 | *Θεοτ.* **Ψ**υχῆς μου καὶ νοός, ἁγνή, ἀπέλασον … | |
| | | ……………………………………………. | = MV X, 97. |

*Ὠιδὴ δ′. Εἰσακήκοα, Κύριε,*
*τὴν ἀκοὴν (τῆς σῆς οἰκονομίας)*

| | | |
|---|---|---|
| 164-166 | **Ὡ**ς ἀστὴρ φαεινότατος ………………………... | = MV X, 97. |
| 167-169 | **Ν**υσταγμὸν ἐκ βλεφάρων σου ……………….. | = MV X, 97. |
| 170-172 | **Π**ενομένοις ἐπήρκεσας ……………………….. | = MV X, 97. |
| 173-175 | **Ἱ**ερῶς πεπολίτευσαι …………………………… | = MV X, 97. |
| 176-178 | *Θεοτ.* **Σ**ὲ πανάμωμε δέσποινα ……………….. | = MV X, 97. |

*Ὠιδὴ ε′. Ὁ τοῦ φωτὸς χορηγὸς*
*καὶ τῶν αἰώ(νων ποιητὴς Κύριος)*

| | | | |
|---|---|---|---|
| | 179-184 | **Τ**ὸ καθαρώτατον φῶς ………………………… | = MV X, 97. |
| | 185-190 | **Ἐ**ν συμπαθείᾳ πολλῇ … | |
| f. 124v | | … ἀσθενείαις / …………………………… | = MV X, 98. |
| | 191-196 | **Ὤ**φθης ναὸς καθαρὸς ………………………… | = MV X, 98. |
| | 197-202 | *Θεοτ.* **Σ**έ, παναγία ἁγνή, ……………………... | = MV X, 98. |

*Ὠιδὴ στʹ. Ἐν ἀβύσσῳ πταισμάτων κυ(κλούμενος)*

| | | |
|---|---|---|
| | 203-206 | **Θ**ησαυροὺς οὐρανίους ἐπλούτησας ………… = MV X, 98. |
| | 207-210 | **Ἐ**δομήσω εἰς δόξαν Θεοῦ ἡμῶν ……………… = MV X, 98. |
| | 211-214 | **Ἱ**ερῶς σου τὸν βίον διήνυσας ………………… = MV X, 98. |
| | 215-218 | *Θεοτ.* **Ο**ὐρανὸς ὑψηλὸς ἐχρημάτισας ……….. = MV X, 98. |

*Ὠιδὴ ζʹ. Εἰκόνος χρυσῆς*
*ἐν πεδίῳ Δεηρᾷ (λατρευομένης)*

| | | |
|---|---|---|
| | 219-226 | **Ἰ**σχὺν τὸν Χριστὸν …………………………... = MV X, 99. |
| | 227-234 | **Σ**οφίᾳ πολλῇ …………………………………. = MV X, 99. |
| f. 125r | 235-242 | / **Λ**αμπτὴρ φαεινὸς …………………………….. = MV X, 99. |
| | 243-250 | *Θεοτ.* **Ὁ** πόκος ποτὲ …………………………… = MV X, 99. |

*Ὠιδὴ ηʹ. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

| | | |
|---|---|---|
| | 251-257 | **Γ**λῶσσαν κινῶν χαρμονικῶς ………………… = MV X, 99. |
| | 258-264 | **Ὁ** καθαρώτατός σου νοῦς ……………………. = MV X, 99. |
| | 265-271 | **Ἱ**ερωτάτην ἐσχηκὼς …………………………… = MV X, 99. |
…………………………. = PitraHEG lxxxiv; MV X, 111.

908-912 *Θεοτ.* **Θ**εὸν συλλαβοῦσα, παρθένε …
…………………………. = PitraHEG lxxxiv; MV X, 111.

*Ἕτερος κανὼν εἰς τὸν ἅγιον ἀπόστολον Παῦλον.*

*Ἰωάννης.*

*Ὠιδὴ αʹ. Ἦχος πλ. δʹ. Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε …*
*… ἐνδόξ(ως γὰρ δεδόξασται).*

913-920 **Ὁ** ὥσπερ ὄντα καλῶν τὰ ἀνύπαρκτα …
…………………………... = PitraHEG lxxiii; MV X, 107.

921-928 **Τ**ὴν ἐσομένην μηνύων σοι ἔλλαμψιν …
…………………………... = PitraHEG lxxiv; MV X, 107.

f. 143v 929-936 **Π**εριτομὴν μὲν τελῶν ὀκταήμερος καὶ ζηλωτὴς / …
……………….. = PitraHEG lxxiii-lxxiv; MV X, 107-108.

937-944 *Θεοτ.* **Ἄ**χραντε μήτηρ Θεοῦ παντοκράτορος …
…………………………... = PitraHEG lxxiv; MV X, 107.

*Ὠιδὴ γʹ. Σὺ εἶ τὸ στερέωμα*
*τῶν προστρεχ(όντων σοι, Κύριε)*

945-948 **Σ**ὺ λίθον θεμέλιον ταῖς τῶν πιστῶν ψυχαῖε τέθηκας …
…………………………… = PitraHEG lxxv; MV X, 108.

949-952 **Π**αῦλε παμμακάριστε τῷ θεμελίῳ σου πρέσβευε …
…………………………… = PitraHEG lxxv; MV X, 108.

953-956 **Π**άντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ τῷ σώματι …
…………………………… = PitraHEG lxxv; MV X, 108.

*Θεοτοκίον.*

**Σ**ὲ πάντες κεκτήμεθα
καταφυγὴν καὶ τεῖχος ἡμῶν
χριστιανοί, σὲ δοξολογοῦμεν
ἀσιγήτως, θεόνυμφε.

*Ὠιδὴ δ′. Ἐπέβης ἐφ᾽ ἵππους …*
*… τοῖς πίστει κραυγάζουσιν*
*δόξ(α τῇ δυνάμει σου, Κύριε).*

961-966 **Ἐ**πέβη ὡς λέων ἀγριωπῶς λυμαινόμενος …
…………………… = PitraHEG lxxvi-lxxvii; MV X, 108.
967-972 **Ὁ** μέλλων φωτίζειν τὴν οἰκουμένην σκοτίζεται …
………………………….. = PitraHEG lxxvii; MV X, 108.
973-978 **Τ**ῷ Παύλῳ ἀξίως ἡ Δαμασκὸς …
f. 144r … ναμάτων θεί/ων ….. = PitraHEG lxxvii; MV X, 108.

*Θεοτοκίον.*

**Π**αρθένος καὶ μήτηρ
ὑπερφυῶς ὤφθης, πάναγνε,
ὡς Θεὸν τὸν αὐτόν τε καὶ Κύριον
Χριστὸν τεκοῦσα τὸν ὑπ᾽ ἀγγέλων ὑμνούμενον
τοῦ λαοῦ σου τὴν λύπην τρέπων
εἰς χαρὰν ταῖς πρεσβείαις σου.

---

L

In vv. **957-960** PitraHEG et MV hoc *theotokion* ed.: *Σὲ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας πάναγνε…* (=PitraHEG lxxv; MV X, 108).

**981** αὐτὸν τὲ L – **982** ὑπαγγέλων L – **983** τρέψων L

In vv. **979-984** PitraHEG et MV hoc *theotokion* ed.: *Καθεῖλε δυνάστας ἀπὸ τῶν θρόνων ὁ Κύριος…* (=PitraHEG lxxvii; MV X, 108).

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς*
*τοῖς προστάγμασί (σου, Κύριε)*

985-989 **Σ**ὺ τὸ ἀληθὲς ἐξελέξω, Παῦλε, καύχημα …
……………………… = PitraHEG lxxviii; MV X, 109.
990-994 **Σ**οὶ τὸ ζῆν Χριστός, τὸ θανεῖν δὲ κέρδος ἄριστον …
……………………… = PitraHEG lxxviii; MV X, 109.
995-999 **Χ**αίρεις ἀληθῶς ἐν Κυρίῳ, Παῦλε τίμιε …
……………………… = PitraHEG lxxviii; MV X, 109.
1000-1004 *Θεοτ.* **Χ**αίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον …
……………………… = PitraHEG lxxviii; MV X, 109.

*Ὠιδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

1005-1010 **Ἀ**πάντων περιφρονήσας τῶν τερπνῶν …
……………………….. = PitraHEG lxxix; MV X, 109.
1011-1016 **Ὡ**ς ἄριστος τοῦ Δεσπότου μιμητὴς …
………………………... = PitraHEG lxxx; MV X, 109.
1017-1022 **Ἀ**ξίως σοι ἐδωρήσατο Χριστὸς …
f. 144v … ἐ/πόθησας …………… = PitraHEG lxxix; MV X, 109.

*Θεοτοκίον.*

**Μ**ὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα,
παναγία θεοτόκε παρθένε,
ὅτι πιστῶν στήριγμα σὺ ὑπάρχεις
καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα
καὶ πόθῳ σε καὶ τὸν ἐκ σοῦ
σαρκωθέντα ἀτρέπτως δοξάζομεν.

---

L

**1023** ὑπερήμῶν L – **1027** σὲ L

In vv. **1023-1028** PitraHEG et MV hoc *theotokion* ed.: *Ἐπέβλεψεν ἐπὶ σοὶ ὁ Κύριος…* (=PitraHEG lxxvii; MV X, 109).

*Ὠιδὴ ζ′. Ἐν πεδίῳ Δεηρᾷ ποτὲ ὁ τύραννος ...*
*... ὁ τῶν (πατέρων ἡμῶν*
*Θεὸς εὐλογητὸς εἶ).*

1029-1035 **Ἐ**χρηματισε, Χριστέ, σφραγὶς καὶ στέφανος …
……………………….. = PitraHEG lxxxi; MV X, 110.
1036-1042 **Ε**ἰ καὶ ἐδίωξε τὸ πρὶν τὴν ἐκκλησίαν σου …
……………………….. = PitraHEG lxxxi; MV X, 110.
1043-1049 **Σ**ὺ ἐξ Ἱερουσαλὴμ κηρύξας ἅπασι …
1050-1056 ……………………….. = PitraHEG lxxxi; MV X, 110.
*Τριαδ.* **Ἐ**ν ἐκστάσει ἐπαρθεὶς τὸν τρίτον ἔφθασας …
1057-1063 ………………….. = PitraHEG lxxxi; MV X, 110-111.
<*Θεοτ.* **Ὡ**ς ἐπὶ πόκον ὑετὸς ἐν σοὶ κατέβη …>
……………………… = PitraHEG lxxxii; MV X, 111.

*Ὠιδὴ η′. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθ(έντα)*

1064-1069 **Σ**υνεκράθη τῷ πόθῳ σου ὁ Παῦλος …
f. 145r … ἑαυτῷ / …. = PitraHEG lxxxii-lxxxiii; MV X, 111.
1070-1075 **Σ**ὺ ἡρμόσω ὡς νύμφην παραστῆσαι …
……………............... = PitraHEG lxxxiii; MV X, 111.
1076-1081 **Ἠ**γωνίσω τὸν κάλλιστον ἀγῶνα …
……………………… = PitraHEG lxxxiii; MV X, 111.
1082-1087 *Θεοτ.* **Χ**αῖρε, θρόνε πυρίμορφε Κυρίου …
……………………… = PitraHEG lxxxiii; MV X, 111.

*Ὠιδὴ θ′. Ὅρους παρῆλθες τῆς φύσεως*

1088-1092 **Σ**οῦ προσκυνοῦμεν τὴν ἄλυσιν …
……………............... = PitraHEG lxxxiv; MV X, 111.
1093-1097 **Ν**ῦν ἀναλύσας, ἀπόστολε …
……………............... = PitraHEG lxxxiv; MV X, 111.

---

L

heirm. ζ′ cf. EE 221-222, nr. 317, Joannis monachi – δεηρὰ L – ἐνβληθέντες L

**1064** Συνεκρώθη PitraHEG – **1070** Συνηρμόσω L PitraHEG

1098-1102 **Ν**ῦν οὐδαμῶς ἐν αἰνίγματι …
……………........... = PitraHEG lxxxiv; MV X, 111.
1103-1107 *Θεοτ.* **Λ**όγον ἐδέξω τὸν ἄσαρκον …
……………………… = PitraHEG lxxxiv; MV X, 111.

*Ἐξαποστειλάριον.*
*<Ἦχος γ΄.> Πρὸς ἐν Πνεύματι τῷ ἱερῷ*

**Τ**ὸν δρόμον ἐκτελέσασα
ἡ δυὰς ἡ φωσφόρος,
πρὸς οὐρανοὺς ἀνέδραμεν
καὶ σκηνὰς οὐρανίους,
f. 145v ὁ Πέτρος / ὁ μακάριος,
ὁ κλεινὸς σὺν Παύλῳ δὲ
τῶν θεοφόρων πανσόφων,
οὓς τιμῶντες ἀξίως,
μακαρίσωμεν πιστοί,
ἐν ὕμνοις δοξολογοῦντες.

---

**1108-1117** cf. PitraHEG cxxviii: *Τὸν δρόμον ἐκτελέσασα, ἡ δυὰς ἡ ἁγία, πρὸς οὐρανοὺς ἀνέδραμεν, ἐν σκηναῖς οὐρανίαις, ὁ Πέτρος ὁ μακάριος, σὺν τῷ Παύλῳ σοφῷ καὶ τῶν ἐθνῶν διδασκάλῳ· οὓς τιμῶντες ἀξίως μακαρίζομεν πιστῶς, ὡς κορυφαίους προστάτας.*

---

L

heirm. exap. MV VI, 15 – Incipit exap. ed. in TRM III, ρξη΄; ΕΦ 1952, 54 et EfstrTam, 51 (1952) 54 (ex codd. Pc, f. 69v; Athon. Laurae Θ33, f. 331r) – **1113** συνπαύλω L – **1114** τὸν θεοφόρον L

## 30
## In ss. XII apostolos

*Μηνὶ τῷ αὐτῷ λʹ τῶν ἁγίων ιβʹ ἀποστόλων.*

*Κάθισμα.*
*Ἦχος γʹ. Πρὸς Θείας πίστεως ὁμολο(γίᾳ)*

1-7 **Θ**είοις δόγμασι τῆς εὐσεβείας ………………… = PitraHEG cxliv.

*Ἄλλον.*
*Ἦχος δʹ. Πρὸς Ταχὺ προκατάλαβε*

**Φ**ωστῆρες αὐγάζοντες
τῆς ἐκκλησίας τὸ φῶς,
ἀπόστολοι ἔνδοξοι,
ἀναφανέντες σαφῶς,
τὸ σκότος ἐλύσατε·
ὅθεν τὴν φωτοφόρον
καὶ σεπτὴν ἡμῶν μνήμην
πίστει ἐπιτελοῦντες
τὸν σωτῆρα ὑμνοῦμεν·
τὸν σῴζοντα ἡμῶν τὰς ψυχὰς
τῇ μεσιτείᾳ ὑμῶν.

*Τὸ κονδάκιον.*
*Ἦχος πλ. δʹ. Πρὸς Τῇ ὑπερμάχῳ στρατηγῷ*

19-24 **Ο**ἱ τοῦ Σωτῆρος ἐρασταὶ καὶ θεῖοι κήρυκες …
……………………………….. = TRM II σκβʹ; AmphKond 126.

---

L

heirm. kath. PaAD, 419-420 – **8-18** Incipit kath. ed. in EfstrTAm, 51 (1952) 57 (ex codd. Paris. gr. 13, f. 325v; Paris. gr. 1576, f. 113r; Athon. Laurae Θ32, f. 335r) – **18** μεσιτεῖα L

*Ὁ οἶκος.*

**Ἄ**ναρχος οὖσα, ὢ Τριὰς μονὰς θεία,
αὕτη ἐν τῇ εὐσήμῳ ἡμέρᾳ
κορυφαίων πανσόφων τῶν σῶν
τοὺς τὴν ἄθλησιν τούτων θερμῶς μέλποντας
οἰκτείρησον, διάσωσον
καὶ δώρησαι βοᾶν τοιαῦτα·
Πέτρος πιστῶν ἡ ἑδραία πέτρα,
Παῦλος βροτῶν ἡ πρὸς ὕψος κλίμαξ,
Πέτρος ἐκκλησίας ὁ θεμέλιος,
f. 146r Παῦλος ὁ ποθήσας τὸν Χριστὸν / ὡς θέμις,
Πέτρος στόμα τὸ μακάριον,
ἐκ Πατρὸς τὸ σοφισθέν,
Παῦλος ὄργανον τοῦ Πνεύματος,
τὸ ἠχῆσαν δι᾽ αὐτόν,
Πέτρος ἐπὶ κυμάτων ὁ βαδίσας σὺν Χριστῷ,
Παῦλος ὁ καθ᾽ ἡμέραν ἐν βυθῷ διατρίψας,
((Πέτρος ἀκούσας ὁ πιστός.

*Ἀνακλώμενον*: Ὅπως κράζωμεν· «χαίροις ζεῦγος τὸ ἔνθεον».))

---

L

**25-42** ed. in AmphKond, 126 – **25** *ἀρχὴ* post Ἄναρχος add. AmphKond – *ὦ* AmphKond – *θεῖα* L – **26** *ἀυτῇ* AmphKond – *εὐσίμω* AmphKond – **27-28** κορυφαῖων πανσόφων τῶν σῶν τὰς τὴν ἄθλησιν. τοῦτων θερμῶς μέλποντας AmphKond : *φέρον πάνσοφον τὴν ξυνωρίδα τῇ ἀθλήση σου τὸ ἔνθεον μέλος* L – **29** οἱκτίρησον AmphKond – **30** βοὰν τοιαῦτα AmphKond : βοᾶν σοι οὗτος L – **31** *πέτρω* AmphKond – *ἐδραία* L AmphKond – **32** *παύλος* AmphKond – κλήμαξ L – **33** θεῖος add. ante θεμέλιος in AmphKond – **34** *παυλος ὁ προθεις.* τὸν χν ὡς θεμέλιον AmphKond – **35** τὸ add. ante στόμα in AmphKond – **37** *παύλος* L AmphKond – ὅργανον L – **38** *αὐχήσαν* L – ἡχήσαν δι υ(ιο)ῦ AmphKond – **39** κυμάτων p.c. L (ex βημάτων) – βαδήσας L – **40** Παῦλος p.c. L (*παύλος* a.c.) – καθήμέραν L, νυχθήμερος AmphKond – **41-42** πέτρος φωνὴν. ὁ φέρων ὡς ἄγγιστρον. παῦλος στοργὴν. ὁ ἔχων ἀμφίβληστρον. τον τοὺς ἡμῖν. ὦ θεὲ πάντων δίδου. τοῦτοις βοᾶν. σοὶ παπάσχου τοῦ *λέγειν* : χαίροις ζεῦγος τὸ ἐνθεον AmphKond – **42** rubr. in L – τὸ ante ζεῦγος add. L

*Στιχηρά.*
*Ἦχος δ'. Πρὸς Ὡς γενναῖον ἐν μάρτυσιν*

43-53 **Ὡ**ς αὐτόπται καὶ μάρτυρες ……….. = PitraHEG cxxx; MV X, 113.
54-64 **Ὡ**ς βολίδες ἀστράπτουσαι ……….. = PitraHEG cxxx; MV X, 113.
65-75 **Ἁ**λιέων ὁ κάλαμος ………….. = PitraHEG cxxx-cxxxi; MV X, 113.

*Ἄλλα.*
*Ἦχος α'. Πρὸς Πανεύφημοι μάρτυρες, ὑμᾶς*

**Τ**οὺς σοὺς ἀποστόλους, Χριστέ, σαφῶς
ὡς ἀκτῖνας λάμποντας
τῇ οἰκουμένῃ ἀπέστειλας,
ζόφον διώκοντας
τῆς εἰδώλων πλάνης
καὶ τὸ φῶς ἀστράπτοντας,
τὴν δόξαν τῆς Τριάδος τοῖς ἔθνεσιν·
διὸ πρεσβεύουσιν
δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν
τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*<Ἦχος ὁ αὐτός.> Πρὸς Τῶν οὐρανίων ταγμάτων*

f. 146v / **Π**έτρον καὶ Παῦλον συμφώνως
ἀνευφημήσωμεν,
Λουκᾶν, Ματθαῖον, Μάρκον,
Ἰωάννην, Ἀνδρέαν,
Θωμᾶν, Βαρθολομαῖον,
Σίμωνα τὸν κανανίτην,
Ἰάκωβον καὶ Φίλιππον
καὶ τὴν ὁμήγυριν πᾶσαν τῶν μαθητῶν
ἐπαξίως εὐφημήσωμεν.

---

L

heirm. stich. *Πανεύφημοι μάρτυρες, ὑμᾶς…* PaAD, 90-91.; Chr-Par, 63 – **77** ἀκτίνας L – **85** (τὴν - ἔλεος) L

heirm. stich. *Τῶν οὐρανίων ταγμάτων…* PaAD, 42 – **88** λουκὰν L – **89** ἰωάννην L – **90** θωμὰν L – **92** ἰάκωβον L

*Ἄλλα.*
*Ἦχος πλ. β′. Πρὸς Ὁ Κύριος ἀνελήφθη εἰς οὐρα(νοὺς)*

**Ὁ** στόματι οὐρανίῳ τὰ ἐπὶ γῆς
οὐρανώσας Πέτρος σήμερον ὑμνείσθω·
νῦν ἀναστρέψας δρόμον γὰρ ὡραῖον ποδῶν,
πορείαν πρὸς τὴν ἄνω ἀποπτάς,
κάτωθεν ἀνέδραμεν
πρὸς τὸν κατελθόντα τοῦ ζωγρῆσαι αὐτὸν
καὶ χεῖρας ἐξήπλωσεν
ζώνην μαρτυρίου εἰς τὸ ζώσασθαι,
κατ᾽ ἴχνος ἑπόμενος τῷ διδασκάλῳ,
ὃν ἠγνόησε πρὶν
καὶ τῆς σαγήνης, προσφέρων τὴν ἄγραν
ὄψον τῇ θείᾳ τραπέζῃ λαμβάνει
μισθὸν τὸν θρόνον Θεοῦ,
κρίσιν τε τὴν πάνδημον.

*Ὅμοιον.*

**Ὁ** ἥλιος τῶν δογμάτων τῆς τοῦ φωτὸς
ἀπορροίας πηρωθεὶς διωκομένου
ἀνευφημείσθω Παῦλος, ἐκλογῆς θεϊκῆς
τὸ σκεῦος, δι᾽ οὗ μῦρα τῆς ζωῆς
πέρατα ὠσφράνθησαν,
κάρου ἀπιστίας ἀνασχόντα δεινῆς,
τὸ στόμα τὸ ἥδιστον·
ὅθεν τῆς ἀγάπης βλύσει ἄβυσσος,
ἐξ οὗ τὸν πολύτιμον
σωρεύει κόσμος μαργαρίτην στοργῆς,
νῦν τῶν ἐσόπτρων, μαθητά, λυθέντων
καὶ τῶν σαρκίνων παραπετασμάτων
προσεντυγχάνεις Θεῷ,
οὗ φορεῖς τὰ στίγματα.

---

L

heirm. stich. PentV, 188 – **96** ὑμνεῖσθω L – **98** πορεῖαν L – **101** χείρας L – **103** κατίχνος L – ἐπόμενος L – **106** ὅψον L – **108** τὲ L – **112** διοῦ L - μύρα L – **121** προσεντυγχάνης L

*Ἄλλον.*
*Ἰδιόμελον. Ἦχος β′.*

123-137 **Δ**εῦρο δῆμοι σήμερον τὸ τῶν πιστῶν εὐφήμως καλλιέρημα …
f. 147r … ὅτι ἀφθόνως / πᾶσιν ……………………. = PitraHEG lxiii.

*Ἄλλα.*
*Ἦχος δ′. Πρὸς Ὁ ἐξ Ὑψίστου κληθεὶς*

138-150 **Ὁ** φῶς ὑπάρχων πρὸ πάντων τῶν αἰώνων …
……………………………….. = PitraHEG cxxxviii; MV X, 120.
151-163 **Π**έτρε καὶ Παῦλε τοῦ Λόγου ἀροτῆρες …
f. 147v … σω/θῆναι ἡμᾶς. … = PitraHEG cxxxviii-cxxxix; MV X, 120.

*Ἄλλον.*
*Ἦχος πλ. β′. Πρὸς Ὅλην ἀποθέμενοι*

**Δ**ύναμιν ἀήττητον
τοῦ Παρακλήτου λαβόντες,
τῶν δαιμόνων φάλαγγας
οἱ Χριστοῦ ἀπόστολοι
ἐτροπώσαντο·
βασιλεῖς ἤλεγξαν
καὶ σοφοὺς ἤσχυναν
οἱ ἰδιῶται καὶ ἀγράμματοι,
γυμνοὶ καὶ ἄοπλοι
εὐαγγελικῶς παρετάξαντο,
τῷ λόγῳ δὲ τῆς χάριτος
τὰς τερατουργίας εἰργάζοντο
καὶ οὕτω τὰ ἔθνη
ὑπήκοα κτησάμενοι Χριστῷ,
ἐν παρρησίᾳ πρεσβεύουσιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

---

L

heirm. stich. MV III, 1; Chr-Par, 76 – **169** ἥλεγξαν L – **176** οὗτω L – **177** κτησάμενα L – **179** ὑπερ L

*Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Χριστοῦ γεραίρω τοὺς σοφοὺς ἀποστόλους.*

*Ὠιδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

180-185 **Χ**ορείαν τῶν Ἀποστόλων μέλπειν μοι …
…………………………………… = PitraHEG cxxxi; MV X, 114.
186-191 **Ῥ**ωσθέντες ῥώμῃ τῇ σῇ καὶ χάριτι …
…………………….................. = PitraHEG cxxxi; MV X, 114.
192-197 **Ἰ**άσεις ἐπιτελοῦντες, δέσποτα …
…………………………………… = PitraHEG cxxxi; MV X, 114.
198-203 **Σ**οφίᾳ μαθητευθέντες, ἔνδοξοι …
……………………………………. = PitraHEG cxlv; MV X, 114.
204-209 **Τ**ριάδος τῆς ὑπερθέου, πάναγνε …
f. 148r … μητρο/πάρθενε. …………… = PitraHEG cxxxi; MV X, 114-115.

*Ὠιδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοὶ*

210-213 **Ο**ὐράνια καὶ σεπτὰ ………………. = PitraHEG cxxxii; MV X, 115.
214-217 **Ὑ**πέδειξας οὐρανοὺς …………….. = PitraHEG cxxxii; MV X, 115.
218-221 **Γ**ραφέντες ἐν οὐρανοῖς ………….. = PitraHEG cxxxii; MV X, 115.
222-225 **Ἐ**σκήνωσεν ἐν ἡμῖν …………….. = PitraHEG cxxxii; MV X, 115.

*Ὠιδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

226-231 **Ῥ**ημάτων θείων ὁ φθόγγος τῶν Ἀποστόλων …
………………………… = PitraHEG cxxxii-cxxxiii; MV X, 115.
232-237 **Ἀ**μαυρωθέντα τῷ ζόφῳ τῆς ἀσεβείας …
……………………................ = PitraHEG cxxxiii; MV X, 115.
238-243 **Ἱ**ερωτάταις λαμπάσιν ἠγλαϊσμένοι …
……………………................ = PitraHEG cxxxiii; MV X, 115.
244-249 **Ῥ**άβδον δυνάμεως ἔχοντες τὸν Σταυρόν σου …
……………………………………. = PitraHEG cxlv; MV X, 115.
250-255 **Ὠ**ραϊσμένος ποικίλῃ φωτοχυσίᾳ …
……………………………………… = PitraHEG cxxxiii; MV X, 115.

---

**198** Σοφίαν L – **222-225** Ἐσκήνωσεν ἐν ἡμῖν· ὁ ἐν ὑψίστοις [κατοικῶν πάναγνε·] ἄνευ σπορᾶς σάρκα γὰρ· ἐ[κ σοῦ προσλαβὼν πε]φανέ[ρωται] lac. L – **226-255** lac. L

f. 148v / *Ὠιδὴ ε΄. Σύ, Κύριέ μου, φῶς*

256-260 **Τ**οὺς θείους σου, Χριστὲ ………… = PitraHEG cxxxiii; MV X, 116.
261-265 **Ο**ἱ πᾶσαν ἀρετὴν ………………… = PitraHEG cxxxiii; MV X, 116.
266-270 **Ὑ**πέφηναν ἡμῖν …………. = PitraHEG cxxxiii-cxxxiv; MV X, 116.
271-275 **Σ**ὲ ὅπλον ἀρραγὲς ……………….. = PitraHEG cxxxiv; MV X, 116.

*Ὠιδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς (αἰνέσεως, Κύριε)*

276-281 **Σ**τηρίξας τοὺς μαθητὰς …………. = PitraHEG cxxxiv; MV X, 116.
282-287 **Ο**ἱ θεῖοι ποταμοὶ ……….............. = PitraHEG cxxxiv; MV X, 116.
288-293 **Φ**ανέντες ζωτικοὶ ὡς ἀστέρες …. = PitraHEG cxxxiv; MV X, 116.
294-299 **Ὅ**λην σε τὴν πλουσίαν …………. = PitraHEG cxxxiv; MV X, 116.

*Ὠιδὴ ζ΄. Ἐν τῇ καμίνῳ*

300-305 **Υ**ἱοθετήσας τοὺς μαθητάς σου
f. 148$^{a}$r πρὶν ὁ φύσει Υἱὸς / θέσει
………………………….. = PitraHEG cxxxiv-cxxxv; MV X, 118.
306-311 **Σ**οφίας χῦμα, καρδίας πλάτος ….. = PitraHEG cxxxv; MV X, 118.
312-317 **Ἀ**ναφανέντες ὥσπερ νεφέλαι …... = PitraHEG cxxxv; MV X, 118.
318-323 **Π**εποικιλμένη τῇ θείᾳ δόξῃ …….. = PitraHEG cxxxv; MV X, 118.

---

L

**266-270** [Ὑπέφηνα]ν ἡμῖν· τῆς τριάδος τὴν ἔλλαμψιν· θε[ότητος ἐν μ]ονάδι· οἱ πυρίναις ἐν γλώσσαις· [φθεγγόμενοι ἀπ]όστολοι lac. L – **271-275** [Σὲ ὅπλον ἀρραγὲς κατ᾽] εχθρῶν προβαλλόμεθα· [σὲ ἄγκυραν καὶ ἐλπίδα τῆς ἡμῶν σωτηρ]ίας· θεό[νυμφε κεκτήμεθα] lac. L – **276-299** lac. L – **300-305** [Υἱοθετήσας τοὺς μαθητάς σου πρὶν ὁ φύσει Υἱὸς] θέσει· κληρονόμους ἔδειξας πατρικῆς· κλ[ηρουχίας]ας ὑπεράγαθε· καὶ συνεδρεύειν σοι· ὡς [Θεὸς καὶ] δεσπότης εὐδόκησας lac. L – **305** τῷ Θεῷ καὶ Δεσπότῃ MV – **306-311** Σοφίας χύμα· καρδίας πλάτος γλῶσσ[αν εὔλαλον] λόγε· παρασχὼν τοῖς θείοις σου μ[αθηταῖς] ἐξαπέστειλας κηρύττοντας· τὸ εὐαγγ[έλιον τῆς] βασιλεῖας πᾶσι τοῖς ἔθνεσιν lac. L – **312-317** Ἀναφανέντες ὥσπερ νεφέλαι πλ[ήρεις θείου] φωτὸς πᾶσιν ἐπομβροῦσιν ὕδ[ωρ ζωοποι]ὸν οἱ ἀπόστολοι κραυγάζοντες· εὐ[λογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε] lac. L – **318-323** Πεποικιλμένη τῇ θείᾳ δόξῃ ὤφ[θης, ἄχραντε,] μόνη ἐξαιῶνος λόγον τὸν τοῦ [πατρὸς δεξαμέ]νη μητροπάρθενε εὐλογ[ημένη σὺ ἐν γυναιξὶν] πανάμωμε δέσποινα lac. L – **322-323** εὐλογημένη σὺ ἐν γυναξίν, ὑπάρχεις πανάμωμε MV

*Ὠιδὴ η΄. Χεῖρας ἐκπετάσας (Δανιὴλ)*

324-331 **Ὁ** θεῖος καὶ πάνσοφος χορὸς …

f. 148αv …εὐαγγελ]/ίου δοξάσωμεν… = PitraHEG cxxxv; MV X, 119.

332-339 **Σ**υμφώνως τοὺς θείους μαθητὰς …

………………………….. = PitraHEG cxxxv-cxxxvi; MV X, 119.

340-347 **Τ**ὰ πάνσεπτα καὶ χωρητικὰ ……. = PitraHEG cxxxvi; MV X, 119.

348-355 **Ὁ** πλήρης κενοῦται δι᾽ ἡμᾶς …… = PitraHEG cxxxvi; MV X, 119.

*Ὠιδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους*

356-361 **Λ**ύειν τὰς σειρὰς τῶν πταισμάτων …

…………………………………. = PitraHEG cxxxvi; MV X, 119.

362-367 **Ὅ**λην τὴν τοῦ Πνεύματος αἴγλην …

………………………………………. = PitraHEG cxxxvi; MV X, 119.

368-373 **Ὑ**μῖν ὁ Χριστὸς νῦν τοῖς φίλοις …

……………………….. = PitraHEG cxxxvi-cxxxvii; MV X, 119.

374-379 **Σ**αρκὶ ἐνδημῆσαι θελήσας …

… θεονύμφευτε. ……......... = PitraHEG cxxxvii; MV X, 119.

---

L

**324-339** lac. L – **340-347** [Τὰ πάνσεπτα καὶ χωρητικὰ … Εὐαγγελ]ίου δοξάσωμεν lac. L – **348-355** [Ὁ πλήρης] κενοῦται δι᾽ ἡμᾶς ἵνα πληρώσεως αὐ[τοῦ μετάσ]χωμεν· τὴν γὰρ πανάχραντον μήτραν [σου ὑπο]δὺς ὁ ἀπερίληπτος τῶν πατρικῶν οὐκ ἀ[ποστὰς κ]όλπων σεσάρκωται· ὅθεν πάντες σὲ [εὐλογοῦμεν,] Μαρία θεόνυμφε lac. L – **356-361** [Λύειν τὰς σει]ρὰς τῶν πταισμάτων· τὴν ἐξουσίαν εἰ[ληφότες] παρὰ τοῦ δεσπότου θεόπται· τὰς ἁ[μαρτίας τῶ]ν ἀνυμνούντων ὑμᾶς· συμπαθῶς [ἐξαλείψατε καὶ] τῆς σωτηρίας ἀξιώσατε lac. L – **361** καὶ σωτηρίας MV – **362-367** Ὅλην τὴν τοῦ πνεύματος] αἴγλην οὐσιωδῶς ἡμῖν φανεῖ[σαν πάντες ὑπεδέξασθε] σοφοί· ἐν ὑπερώω μυ[σταγωγούμενοι τὰ ὑψηλὰ] διδάγματα καὶ νῦν [ἀξίως μακαρίζεσθε] lac. L – **368-379** [Ὑμῖν ὁ Χριστὸς – θεονύμφευτε] lac. L

*+ Ἕτερος κανών. Ἦχος α΄. +*

[………???………]

f. 148βr / **Σ**ὺ εἶ Θεός μου, Κύριε,
ὁ ἀπ[…±25…]
καὶ ἐξ ἀγραμμάτω[ν
…±25…] τελειῶν.

**Π**εριπολοῦν[…???...]
[…???...]ταί σου ἐδ[…???...]
τὸν ζῶν[…???...].

**Π**νευματικ[…???...]
[…???...]νοὶ τῆς […???...]
τεσ[…???...]

[…???...]πυ[…???...].

f. 148βv […???...]/ος.

[…???...]ει, μόνε σωτήρ,
τῶν […???...]εῖν ἐν τοῖς ἔθνε[…???...]

[…???...]Χριστέ,
τοῦ Πατρὸς […???...]
ἅπαντας […???...]

[…???...]ν
οἱ τὸ […???...]σατε […???...]

---

L

**382** ἐξαγραμμάτω[ν] lac. L

*+ Ὠιδὴ δʹ. Ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην+*

f. 149r / **Ἀ**πέστειλας τοὺς μαθητάς σου ἐπὶ τὰ ἔθνη
τοῦ ἀναγγεῖλαι, σωτήρ,
τὴν ἐκ παρθένου μητρὸς
εὐδοκίαν σου.

**Κ**ατέλαβον οἱ μαθηταί σου ποτὲ τὰ βάθη
τὰ τῆς θαλάσσης, σωτήρ,
νῦν δὲ τὸ ὕψος τῆς σῆς
ἐπιγνώσεως, Χριστέ.

**Ἀ**νήγγειλαν τῇ οἰκουμένῃ οἱ μαθηταί σου
+τὴν συγκα+τάβασίν σου,
ὅτι Θεὸς ὢν, ἑκὼν
σάρξ ἐγέν+ου+ [– –́].

**Ἐ**φώτισαν τὴν οἰκουμένην οἱ μαθηταί σου,
τοῦ φωτοδότου Χριστοῦ,
τὴν τῆς ἀγν+οίας+ [–́ –]
ἀπελάσαντες ἐκ γῆς.

---

L

heirm. δʹ EE 13, nr 17, Andreae Cretensis

**409** ἑκῶν L

*Τριαδικόν.*

**Δ**οξάσωμεν ἐν τριάδι καὶ ἐν μο+νάδι
Θεὸν+ [– – – –́ ]τα
σὺν τῷ Πατρὶ τὸν Υἱὸν
καὶ τ+ὸ Πνεῦμα τὸ Ἅγιον.+

*Θεοτοκίον.*

**Ὑ**μνήσωμεν τὴν προ[–́ – – – – –́ –
– – –́ –]νον μείνασαν,
ἐξ ἧς [– –́ – – –́
– – –́ – – –́ – – .]

*Ὠιδὴ ε΄. Καταύ[γασον ἡμῶν τὸν νοῦν ὁ Θεὸς …
… τὰ προστάγματά σου.*

423-428 **Θ**αυμάσ[…???...]

429-434 **Τ**[…???...]

435-440 […???...]

[– –́ – – – –́ – –́ – – –́
f. 149v – – –́ – +συλλα+]/βοῦσα
καὶ τεκοῦσα ἀπεριλήπτως,
διέμεινας παρθένος, ἁγνή· ὢ ξένον τόκου
τίς ἔγνω μήτραν φθορᾶς
[– –] τεκοῦσαν ποτέ.

---

L

heirm. ε΄ EE 13, nr 17, Andreae Cretensis

**417** συν L

*Ὠιδὴ στʹ. Ἐκ βάθους τῆς καρδίας μου …*
*… ὁ Θεός μου καὶ σῶσον με.*

+**Τ**ῆς ἄ+ωθεν σοφίας
τὴν ἔλλαμψιν εἰληφότες·
τῇ τοῦ [– –́ – – – –́
– –́ – –́ – – – – – –́ –] Χριστοῦ
οἱ μαθηταὶ διὰ πυρίνων γλωσσῶν
[– –́ – –] ἐπ᾽ αὐτοὺς
τὸν Κύριον τὸν φανέντα σαρκὶ
[– –] πᾶσι τοῖς ἔθνεσιν.

[– –́ – – – – –́ –]ς
τὸ δίκτυον συμβαλόντες
ἐξη[– –́ – – – –́
–́ – –́ –]ς καὶ ὡς ἰχθύας ἡμᾶς
[– – – –́ – – – –́ – – –́
– –́ –] πρὸς τὴν ὄντως
[– –́ – – – – – –́ – – –́
– – –́ – – – ]χεν ποτὲ.

[– –́ – – – – –́ –
– –́ – – – – – –́ –]
ἔνθα βού[– – – – –́
– –́ – –́ – – – – – –́ –]οιεῖ
καὶ [– – –́ – – – – –́ – – –́
– –́ – – – – –́ –
– – – – – – – –́ – – –́
– – –́ – – – – –] +ζ+ωῆς.

[*Θεοτοκίον.* ………???………]

[*Ὠιδαὶ ζʹ-θʹ.* ………???………]

---

L

heirm. στʹ EE 13, nr 17, Andreae Cretensis

**451** L διαπυρίνων – **452** ἐπαυτοὺς L

## Appendix I
## In s. Iustinum philosophum et martyrem
## (cf. Textum 1, vv. 1-29, 58-132, 160-415)

In vv. **204-210** CBQIa hoc. troparion tradit:

Νῦν ὃν ἐδογμάτισας Χριστόν,
οὐσίας δύο φέροντα
τῆς καθ᾽ ἡμᾶς αὐτοῦ τε θεότητος,
ἀφύρτους πάνυ ἄγων τοὺς βλάσφημα
ἐκ στομάτων ῥέοντας
ἀπόκρημνα ῥήματα,
καθορᾷς αὐτοψεὶ ἀγαλλόμενος.

In vv. **288-293** CBQIa hoc troparion tradit:

Ἐκύκλωσεν ἡμᾶς θλίψεων ἄβυσσος,
οὐκ ἔχομεν παράκλησιν,
συμπνιγόμεθα καὶ θνήσκομεν, σοφέ·
ὡς Θεοῦ θεράπων παρηγόρησον
καὶ πρὸς ζωὴν
καὶ θυμηδίαν τάχος ἀνάγαγε.

Post odem 6 Ia hoc kontakion et oikos trad.:

*Κοντάκιον.*
*Ἦχος β′. Τὰ ἄνω ζητῶν*

Τριάδα σεπτὴν
μαρτύρων εὐφημήσωμεν,
Ἰουστῖνον τὸν σοφόν,
Στρατώνικον καὶ Ἔρασμον·
ὡς Τριάδος κήρυκας
τῆς ἁγίας κόσμῳ ἔφανεν,
ὑπὲρ ταύτης τε καὶ ἐνήθλησαν,
πρεσβεύοντες ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

---

**3** τε om. Ia – **4** πάνυ : πάλιν Ia – ἄγων : ἄγχων C, άγχων Ia – **5** στόματος C – **6** ἀπόκρυμνα C, απόχρημα Ia – **8** θλίψεως Ia

*Ὁ οἶκος.*

Τῷ φωτισμῷ τῆς ἐλλάμψεώς σου
ἐκκαθάρας, Χριστέ μου,
τὴν ἀχλὺν τῆς ἐμῆς καρδίας νῦν καὶ τὴν πόρρωσιν,
δίδου μοι λόγον ἀνευφημῆσαι καθαρῷ συνειδότι
τῶν ἀθλοφόρων τὰς θεαυγεῖς ἀρετὰς
καὶ τοὺς ἄθλους καὶ σκάμματα·
πηγὴ γὰρ ὤφθης σοφίας
καὶ δοτὴρ ἀγαθῶν, πολυεύσπλαγχνε·
διὸ τρανώσας τὴν γλῶττάν μου
τὸν ἐφύμνιον πρόσδεξαι ὕμνον μου,
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

In vv. **394-397** CBQIa hoc troparion tradit:

Μίαν πεῖραν δεδιττόμενος
τῆς φοβερᾶς καὶ αἰωνίου κολάσεως,
προσκαίρους ποινὰς
ὥσπερ ἀθύρματα ἔφερες
καὶ θανὼν τὸν Χριστόν, ὅν ἐκήρυττες,
ἀνάπαυλαν ἐφεῦρες
ἐν οὐρανοῖς σε κατατάττοντα.

Post Odem 9 BQ hoc exaposteilarion add.:

*Ἐξαποστειλάριον.*
*Γυναῖκες ἀκουτίσθητε*

Συμφώνως ἀνυμνείσθωσαν
οἱ ἀθλοφόροι μάρτυρες,
Χαρίτων, Παίων, Ἱέραξ
καὶ θεῖος Βαλλεριανός,
ὁ θεῖος Ἰουστῖνος τε,

---

**30** γλῶτταν L – **36** ὥς περ CQ

**40-48** incipit ed. in EfstrTam, 50 (1951) 244 (ex cod. Paris. gr. 1576, f. 10v) – **44** θεῖος B : μέγας Q

Εὐέλπιστος ὁ πάνσοφος
καὶ Χαριτὼ ἡ ἔνδοξος·
ὑπὲρ τοῦ κόσμου γὰρ οὗτοι
ἐξιλεοῦνται τὸ θεῖον.

Post odem 9 Ia hoc exaposteilaria add.:

*Ἐξαποστειλάριον.*
*Γυναῖκες ἀκουτίσθητε*

Ἐλέγχων τὴν ἀντίθεον
Μαρκίωνος παράνοιαν,
Ἑλλήνων τε καὶ Ἑβραίων
τὴν πύρωσιν, Ἰουστῖνε,
ὡς τῷ ὄντι φιλόσοφος
τὴν πίστιν ἐβεβαίωσας
καὶ καθὼς προηγόρευσας
ὑπὲρ Χριστοῦ μαρτυρήσας
αὐτῷ Χριστῷ συνδοξάζῃ.

<Ὅμοιον.>

Ἑλλήνων τὴν πολύθεον
ἐλέγξας ἀθεότητα
ὁ πάνσοφος Ἰουστῖνος,
σοφίαν λόγων καὶ ἔργων
μεγίσταις ἀποδείξεσι
τυράννου μὲν κατῄσχυνε
Χριστοῦ δὲ ὑπερήθλησεν,
μεθ᾽ οὗ καὶ νῦν βασιλεύει
ἐν οὐρανοῖς εἰς αἰῶνας.

---

**57** συνδοξάζει Ia – **61** ἔργον Ia

## Appendix II
## In s. Attalum thaumaturgum
## (cf. Textum 1, vv. 30-57, 133-159, 416-613)

Post vv. **133-159** H et in vv. **133-159** HaV hoc stichera trad.:

*Στιχηρά. Ἦχος πλ. δʹ.*
*Ὢ τοῦ παραδόξου θαύματος*

Πάτερ θεοφόρε Ἄτταλε,
ἀγγελικὴν ἐπὶ γῆς
πολιτείαν ἐζήλωσας,
ἀρεταῖς κοσμούμενος
καὶ φωτὶ λαμπρυνόμενος
τῆς τρισηλίου αὐγῆς καὶ χάριτος
καὶ νῦν φωτίζεις τοὺς προσιόντας σοι
καὶ μακαρίζοντας
τοὺς ἐνθέους τρόπους σου,
θαυματουργέ,
καὶ τὰ κατορθώματα
καὶ τὰ παλαίσματα.

*Ὅμοιον.*

Πάτερ θεοφόρε Ἄτταλε,
δι᾿ ἐγκρατείας πολλῆς
καὶ εὐχῆς καὶ δεήσεως
τῶν παθῶν σκιρτήματα
παντελῶς ἀπεμάρανας,
καὶ ἰαμάτων χάριν δεξάμενος,
τῶν νοσημάτων παύεις τὸν καύσωνα,
τὰ πονηρότατα
καταφλέγων πνεύματα·
ὅθεν τὴν σὴν
μνήμην ἑορτάζομεν
πανηγυρίζοντες.

---

**1** θεοφόρε : θεόφρον Ha – **18** καὶ ἰαμάτων : καὶ τὸν θαυμάτων τὴν V

*Ὅμοιον.*

Πάτερ θεοφόρε Ἄτταλε,
θαυματουργῶν ἱερῶς,
τὴν ξηράν τε καὶ ἄνικμον
ῥάβδον θείῳ Πνεύματι
καρποφόρον ἀπέδειξας,
τὴν πέτραν βλύζειν ὕδωρ πεποίηκας
καὶ νῦν τὰ ἄνω οἰκεῖς βασίλεια,
θέσει θεούμενος·
ὅθεν συνελθόντες σε
μελῳδικῶς
σήμερον γεραίρομεν
καὶ μακαρίζομεν.

Post vv. **416-421** HHaV hoc troparion add.:

Πόθῳ πτερωθεὶς τῷ πρὸς Θεόν,
τοῦ βίου τὴν τερπνότητα
πᾶσαν παρέδραμες καὶ ἄγγελος καθάπερ
ἐβίωσας, Ἄτταλε·
ὅθεν μετ᾽ ἀγγέλων
ἐν ὑψίστοις ἀπαύστως χορεύεις.

Post vv. **434-439** H hoc troparion add.:

Χάριν εἰληφὼς παρὰ Θεοῦ,
τὰς νόσους πάντων ἴασαι
τῶν προστρεχόντων σου τῇ θήκῃ τῶν λειψάνων
καὶ πίστει τιμώντων σου,
πάτερ, τὴν πολιτείαν
καὶ τοὺς τρόπους τοὺς σωτηριώδεις.

---

**27** ἄνηγμον HaV – **29** ἀνέδειξας Ha – **30** βλύζων Ha : βλήζων V – **32** θέσει : θείει V – **33** συνελθόντες : ὴν ελθώντες V – **35** γεραίρωμεν Ha – **37** Θεόν : χ(ριστὸ)ν HaV – **41** μετὰ ἀγγέλων Ha : μεταπάντων V

In vv. **434-439** HaV hoc troparion tradit:

Ὅλην καθαράν σε εὑρηκὼς
ὁ καθαρὸς ἐσκήνωσεν
ἐν τῇ νηδύι σου, ἁγνὴ παρθενομῆτορ,
καὶ σὰρξ ἐχρημάτισεν
δίχα τῆς ἁμαρτίας
ἵνα πλάνης ἡμᾶς ἀπαλλάξει.

Post vv. **444-447** H hoc troparion add.:

Ὑπερβολῇ φιλίας τῆς πρὸς Θεὸν
σεαυτὸν ἠρνήσω, ἀξιοθαύμαστε,
βίον ἀγγέλων ζηλώσας
ἐπὶ γῆς βαδίζων ὡς ἄνθρωπος.

Post vv. **448-451** H, in vv. **452-455** HaV hoc troparion add.:

Ὕδωρ τὸ ζῶν, παμμάκαρ, ἐν τῇ ψυχῇ
κεκτημένος, πάτερ, πηγὴν ἀέναον
δι᾽ ἐπικλήσεως θείας,
Ἄτταλε, ἐκβλύσαι πεποίηκας.

Post vv. **462-467** H et in vv. **462-473** V hoc troparion add.:

Δάκρυσι σαυτὸν,
παμμάκαρ, ἐκκαθαίρων,
ὤφθης τοῦ Θεοῦ
ναὸς ἡγιασμένος
καὶ παραδείσου οἰκήτωρ καὶ κληρονόμος
τῆς οὐρανίου ἀπολαύσεως.

---

**60** πάτερ : μάκαρ V – ἀένναον HHa : ααίνναος V – **61** θείας om. V

Post Δάκρυσι - ἀπολαύσεως in HV et in vv. **462-473** Ha hoc troparion add.:

Ἐπιχορηγῶν
τοῖς πένησι τὸν πλοῦτον
τὸν ἐν οὐρανοῖς
ἀξίως ἐκληρώσω
μετὰ ὁσίων ὡς ἄξιος, θεοφόρε·
ὅθεν ἐν πίστει εὐφημοῦμεν σε.

Post vv. **480-483** HV hoc troparion add.:

Τοὺς ὑπὲρ εὐσεβείας
καταβαλλόμενος πόνους, ἀοίδιμε,
πρὸς τὴν ἄπονον λῆξιν
ἐν ἀγαλλιάσει κατήντησας.

Post vv. **496-502** HHaV hoc troparion add.:

Τὸν σκοτασμὸν τῶν παθῶν
ἀποφυγὼν θείᾳ χάριτι,
φυγαδευτὴς πονηρῶν
πνευμάτων γεγένησαι
καὶ φωστὴρ ἀκοίμητος
καὶ θαυμάτων βρύσις,
ἀξιάγαστε πατὴρ ἡμῶν.

Post vv. **524-530** HHaV hoc troparion add.:

Ῥάβδῳ πέτραν διέρρηξας
καὶ ἐρρύησαν, πάτερ,
ἕως σήμερον ὕδατα,
τὸ θαῦμα μαρτυροῦντα,
θεοφόρε Ἄτταλε,

---

**69** Ἐπὶ χορηγῶν Ha – **70** πένησι : πόνης σὲ V – **73** θεοφόρε : θεόφρον V – **76** πόνους : σπόρους V – **82** γεγέννησαι Ha : γεγέννησεν V – **86** Ραύδον V – **87** ἐρρυήσεν Ha : ἐρρήυσεν V

τῶν ἀσθενῶν ἰατρέ,
τῶν ταπεινῶν βοηθέ.

Post vv. **538-544** H hoc troparion add.:

Παρεστὼς τῷ ποιήσαντι
πολλῇ σὺν παρρησίᾳ,
τῶν τιμώντων σε μέμνησο,
πατὴρ ἡμῶν θεόφρον,
ὅπως λύσιν λάβωμεν
ἁμαρτιῶν καὶ παθῶν,
Ἄτταλε ὅσιε.

Post vv. **552-559** HHaV hoc troparion tradit:

Τὴν ὁδὸν τὴν εἰσάγουσαν
πρὸς αἰωνίους σκηνὰς
ἀκλινεῖ καρδίᾳ, πάτερ, βαδίσας,
ἠριθμήθης χοροῖς,
Ἄτταλε ὅσιε,
τῶν ἁγίων ἁπάντων
καὶ θαυμάτων χάριν ἀναβλύζεις
τοῖς προσερχομένοις τῷ ζῶντι σου λειψάνῳ.

Post vv. **602-607** H hoc troparion add.:

Φῶς σοι ἐξανέτειλεν,
ὄντι δικαίῳ, πάτερ,
καὶ ἡ τούτου σύζυγος
πλουσίως εὐφροσύνη,
μετὰ κοίμησιν ἱεράν· διὰ τοῦτο
ἐν ἀγαλλιάσει σε γεραίρομεν.

## Appendix III
## In s. Lucillianum martyrem
## (cf. Textum 3)

Post **tit**. A hoc stichera trad.:

*Στιχηρά.*
*Ἦχος δʹ. Ὡς γενναῖον (ἐν μάρτυσιν)*

Τὸ τῆς πλάνης ἀσύστατον
τοῦ ἑστῶτος σοὶ γέγονεν
λόγου τῆς ἀληθείας, παναοίδιμε,
χειραγωγία ἀνάγουσα
πρὸς τὸν μόνον ὄντα Θεόν,
ἀναλλοίωτον ἀεὶ
καὶ ἀνώλεθρον μένοντα·
ὃν ἱκέτευε
(ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου).

Τειρουργίᾳ τῆς χάριτος
τὰ κρυφῇ ὑποσμήχοντα
δυσιάτρευτα πάθη τέμνων, ἔνδοξε,
περιφανῆ ἐν τοῖς πάσχουσιν
δεικνύεις ἰάματα,
συνεργείᾳ τοῦ Χριστοῦ,
τοῦ ἀεὶ χαριτοῦντος σε·
ὃν ἱκέτευε
ἐκ φθορᾶς (καὶ κινδύνων λυτρωθῆναι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου).

---

**1-11** incipit *Τὸ τῆς πλάνης ἀσύστατον* ed. in EfstrTam, 50 (1951) 249 (ex cod. S)

Τῶν ἀνθρώπων τῆς φύσεως
ὁ εἰδὼς τὴν ἀσθένειαν
καὶ τὸ ταύτης εὔφθαρτον καὶ σαθρότατον
τὴν σὴν πρεσβείαν παρέσχετο
αὐτῇ, παναοίδιμε,
καὶ πορεύγουσαν ἀεὶ
νοσημάτων ἀνάρρυσιν
καὶ παρέχουσαν
τοῖς ἐν πίστει αἰτοῦσιν τῶν τραυμάτων
καὶ ἐν πόθῳ ἐκτελοῦσι
τὴν ἀεισέβαστον μνήμην σου.

In vv. **23-48** Pa hoc *kontakion* and *oikos* trad.:

*Κοντάκιον.*
*Ἦχος β΄.* Τοὺς ἀσφαλ(εῖς καὶ θεοφόρους κήρυκας)

Τοὺς εὐσεβεῖς τῆς ἀληθείας μάρτυρας
καὶ τῶν πιστῶν σωτηριώδεις φύλακας
βασιλ(είας) ἀπειργάσω τῆς αἰωνίου οἰκήτορας·
τοὺς ἄθλους γὰρ αὐτῶν καὶ τὴν τελείωσιν
ἐδέξω ὡς εὐῶδες θυμίαμα
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

*Ὁ οἶκος.*

Φῶς νοερὸν Θεοῦ Πατρός, Λόγε,
ὁ φωστῆρας ἐν κόσμῳ ἀναδείξας
τοὺς σοὺς γενναιωτάτους μάρτυρας,
φώτισον τὴν καρδίαν καὶ τὸν νοῦν μου
καὶ παράσχου μοι λόγον τῆς σῆς σοφίας,
ὅπως αὐτῶν τοὺς ἀγῶνας ὑμνεῖν ἐξισχύσω τρανῶς·
νικᾷ γὰρ ἅπαντα λόγον
ἡ αὐτῶν καρτερία τῆς ἀθλήσεως·
καὶ γὰρ αὐτός, πολυεύσπλαγχνε,
ἐν σταδίῳ παρέχεις τὴν δύναμιν·
ὁ μόνος γι(νώσκων τὰ ἐγκάρδια).

---

**23-33** incipit ed. in EfstrTam, 50 (1951) 249 (ex cod. Pc, f. 5v]

In vv. **33-48** Vb hoc oikos tradit:

*Οἶκος.*

**Τ**ῇ ἀγαπήσει τοῦ Χριστοῦ πυρποληθείς, παμμάκαρ,
τῶν ἐπὶ γῆς ἁπάντων τὴν σχέσιν ἐβδελύξω
καὶ ἐκολλήθης τῇ ὁδῷ τοῦ εὐαγγελίου
καὶ μαρτυρίου ἐκπιεῖν ἡρετίσω ποτήριον·
ὅθεν καὶ τοῦ σκοποῦ οὐ διήμαρτες ἀληθῶς,
ἀλλ᾽ ὤφθης κοινωνὸς τῶν παθημάτων τοῦ Σωτῆρος,
ὁμοῦ καὶ τῆς δόξης γενήσει τῆς αὐτοῦ συμμέτοχος
ὤφθης αἰωνίω<ς> σὺν αὐτῷ συμβασιλεύων·
ὅθεν καὶ τοῖς τιμῶσι σε πταισμάτων λύσιν
παρὰ Κυρίου δοθῆναι ἱκέτευε.

Post odem θ′ Vb hoc exaposteilarion tradit:

*Ἐξαποστειλάριον.*
*Τοῖς μαθηταῖς (συνέλθωμεν)*

Σὺν Ὑπατίῳ μέλψωμεν
Κλαύδιόν τε καὶ Παῦλον
ἐν θεοπνεύστοις ἄσμασι,
Διονύσιον αὖθις
καὶ τὴν ἀοίδιμον Παῦλαν,
τοὺς γενναίους ὁπλῖτας
καὶ θεοφόρους μάρτυρας,
ὧν ὁ μέγας ὑπῆρξε καθηγητὴς
Λουκιλλιανὸς ὁ πάνσοφος μάρτυς·
δι᾽ ὧν πταισμάτων ἄφεσιν
ὁ Χριστὸς νέμει πᾶσιν.

## Appendix IV
## In s. Dorotheum Episcopum Tyri et martyrem
## (cf. Textum 6)

Post troparium ab vv. **291-292/298-300** (vv. 293-297 om.) WO hoc theotokion tradit:

Ῥῦσαί με, ἁγνή,
τῶν ἀεὶ ἐνεδρευόντων με
καὶ χαιρόντων ἀπωλείᾳ ἐμῇ·
ἐν σοὶ γὰρ μόνῃ
τὴν ἐλπίδα μου ἀνέθηκα.

Post odem 9 O hoc exaposteilarion tradit:

*Ἐξαποστειλάριον.*
*Ἦχος β′. Πρὸς Γυναῖκες ἀκουτίσθητε*

Ὡς δῶρον καθαρότατον
Θεῷ τῷ παντοκράτορι
σαυτὸν προσῆξας, θεόφρον,
τῆς τοῦ Χριστοῦ ἐκκλησίας
ἀρχιερεὺς γενόμενος
ἐν πνεύματι, Δωρόθεε,
ὡς προκαθάρας πάνσοφε
νοῦν καὶ ψυχὴν καὶ τὸ σῶμα
πράξει καὶ βίῳ καὶ λόγῳ.

Post odem 9 Ia hoc exaposteilarion tradit:

*Ἐξαποστειλάριον.*
*Ὁ οὐρανὸν τοῖς ἄστροις*

Ἐκ μεγαλοφυΐας
σὺ πολυΐστωρ γεγονώς,
Δωρόθεε, συνεγράψω
τὰς πολιτείας ἁγίων,
μεθ᾽ ὧν ἡμῶν ὑπερεύχου
νῦν πρὸς Κύριον, πάτερ.

---

**19** ἡ | μ(ῖν) ἡ | περεύχου Ia

## Appendix V
## In s. Methodium confessorem Patriarcham Constantinopolitanum
## (cf. Textum 14, vv. 12-18, 110-145, 326-529)

In vv. **12-15** CB (post odem 3) hoc *kathisma* tradit:

*Κάθισμα.*
*Ἦχος πλ. δʹ. Τὴν σοφίαν τοῦ Λόγου*

Ὡς ἀστέρα σε πάντες τοῦ νοητοῦ
ἀρετῶν καὶ θαυμάτων μαρμαρυγαῖς
τὸν κόσμον φωτίζοντα
εὐφημοῦμεν, μακάριε·
κοινωνὸς γὰρ θείας
λαμπρότητος γέγονας
καὶ πρὸς φέγγος, πάτερ,
μετέβης τὸ ἄδυτον·
ὅθεν τὴν φωσφόρον
καὶ ἁγίαν σου μνήμην
τιμῶντες ἑκάστοτε
τὸν σωτῆρα δοξάζομεν
καὶ συμφώνως βοῶμέν σοι·
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

In vv. **19-43** FFaGaKGbDGcGdNNaPbDaIScKaSdLa (post odem 6 Ga et post odem 3 cett.) et post vv. **19-43** Pc hoc kontakion et oikos trad.:

*Κοντάκιον.*
*Ἦχος βʹ. Τοὺς ἀσφαλεῖς καὶ θεοφόρους κήρυκας*

Ἐπὶ τῆς γῆς ἠγωνίσω ὡς ἄσαρκος
καὶ οὐρανοὺς ἐκληρώσω, Μεθόδιε,
ὡς τρανώσας ἐν τοῖς πέρασι
τὴν τῶν εἰκόνων προσκύνησιν·

---

**14-17** πρέσβευε χ(ριστ)ῷ τῷ θ(ε)ῷ (τῶν πταισμάτων – σου) C : πρέσ(βευε – σου) B

**18-36** cf. PitraAS 628-629 – **18** ἠγωνίσω ὡς ἄσαρκος : ἠγώνισαι μακάριε Pitra – **20** εἰς τὰ πέρατα GaPc – **21** πρὶν ante εἰκόνων add. Pc

ἐν πόνοις γὰρ καὶ μόχθοις περισσοτέρως
διεγένου ἐλέγχων ἐν παρρησίᾳ,
καὶ παύων ἀθετοῦντας
τὴν εἰκόνα Χριστοῦ.

*Ὁ οἶκος.*

Ἁμαρτιῶν μοι λύσιν παράσχου
τοῦ ὑμνεῖν ἐπαξίως τοὺς ἀγῶνας τοὺς σούς,
Μεθόδιε παναοίδιμε·
λάκκῳ βαθεῖ γὰρ ὑπεβλήθης,
ἵνα τὰς πρώην ψυχάς,
κατεχομένας ἐν τῷ βυθῷ τῆς ἀγνοίας,
ἑλκύσῃς πρὸς ἔλλαμψιν τῆς θείας φωτοχυσίας,
ἐκδιδάξας σαφῶς τὴν ὑφήλιον
τὴν θείαν ὄντως καὶ ἄρρητον
τοῦ Χριστοῦ προσκυνεῖν ἀνατύπωσιν.

<*Ἀνακλώμενον*>: Ἐλέγχων ἀθετοῦντας τὴν εἰκόνα Χριστοῦ.

Post kontakion Ἐπὶ τῆς γῆς ἠγωνίσω ὡς ἄσαρκος… (supra, vv. 18-25) in Ga hoc oikos tradit:

Σοῦ τὸν σεβάσμιον, θεοφόρε, τάφον περικυκλ+οῦντες
ἐν ᾠ+δαῖς οἱ πιστοὶ ᾀσμάτων ἀνευφημοῦμεν σε·
+…… γὰρ+ Ἠλιοὺ ὡς ἄλλος
ἱερεῖς τῆς αἰσχύνης ξίφει δογμάτων
ἀποσοβῶν ἀποτόμως, Μεθόδιε ὅσιε,
καὶ δόγμα τ+οῦ ….+νύμου
καὶ τῶν τούτου συμμυστῶν ὠθούμενος

---

**22** ἐν κόπω γὰρ καὶ μόχθω Pc – **23** οὐκ ἐπαύσω ἐν παρρησία ἐλέγχων Ga – διεγένου ἐλέγχων : διὲλέγχων La – **23-24** διάγων οὐκ ἐπαύσω ἐν παρρησία ἐλέγχων ἀθετοῦντας Pc Pitra

**26-36** inc. oik. in EfstrTam, 50 (1951) 327 – **26** μοι FFaKGbDGcGdPdDaIScKaSdLaPitra : μου GaNNaPc – **27** ὑμνεῖν ἐπαξίως : ἀξίως ὑμνῆσαι Pc : ὑμνῆσαι ἀξίως Pitra – **28** παναοίδιμε : πανόλβιε Pc : ὦ πανόλβιε Pitra – **29** γὰρ om. Pc – ὑπεβλήθης : ὑπεκλείσθης Pc : σὺ ἐνεβλήθης Pitra – **30** πρώην : πρὶν Pc – **30-31** ἵνα πρώην ψυχὰς, τὰς κατεχωσμένας Pitra – **31** ἐν om. DN : sl Fa – τῶ p.c. F – **33** ἐκδιδάξῃς Pitra – ὑφ᾽ἥλιον F I – **35** εἰς ἀνατύπωσιν La

πιστοὺς τρανώσας ἐξεπαίδευσας
σχετικῶς προσκυνεῖν τῶν ἁγίων μορφάς.

<*Ἀνακλώμενον.*> Ἐλέγχων ἀθετοῦντας (τὴν εἰκόνα Χριστοῦ).

In vv. **110-133** CFFaFbKGbSaBDGcGdNNaPdDaIKaScSdLa hoc stichera trad.:

*Ἦχος πλ. δʹ. Ὢ τοῦ παραδόξου θαύματος*

Πάτερ θεόφρον Μεθόδιε,
καθάπερ λέων βρυγμῷ
τῶν πανσόφων δογμάτων σου
Ἰαννῆν ἐπτόησας
τὴν ὑποῦλον ἀλώπεκα
καὶ δὴ μὴ φέρων τοὺς σοὺς ἐλέγχους αὐτὸν
πληγῇ μαχαίρας συγκόπτει ὁ δυσσεβής,
ὅνπερ ἀπήλασας
ποίμνην λυμαινόμενον
τὴν τοῦ Χριστοῦ,
πρόμαχος γενόμενος
τοῦ ὀρθοδόξου λαοῦ.

Ὀρθοδοξίας ἑδραίωμα,
τῆς ἐκκλησίας ποιμὴν
μοναστῶν ἐγκαλλώπισμα,
ποταμὸς πληρούμενος
τῶν ναμάτων τοῦ Πνεύματος,
κρατὴρ προχέων πόμα ἡδύτατον,
λαμπτὴρ φωτίζων κόσμου τὰ πέρατα,
μάχαιρα δίστομος
τεθηγμένη χάριτι
καὶ δυσσεβῶν
φάλαγγας συγκόπτουσα
σὺ εἶ, Μεθόδιε.

---

**47-70** Inc. sticherorum ed. in EfstrTam, 50 (1951) 326 (ex S; Gc; Gd; Ge; Pd, f. 99r; codd. Paris. gr. 1556, f. 131v) – **50** Ἰαννῆν : ἰανὴν B : ἰωάννην D – **51** τὸν CB – ὑποῦλον CB : ὕπου I – **52** σαυτὸν CB – **55** λιμαινόμενον C : λοιμαινόμενον FaFbGcGbSaNNaKa – **60** ποιμὴν : κανὼν CBGd – **67** τεθιγμένη FaFbGbSaGdNNa

In vv. **134-145** CB hoc sticheron tradit:

*Ἦχος πλ. δʹ. Ὢ τοῦ παραδόξου θαύματος*

Ὅσιε πάτερ Μεθόδιε,
ὕδατος πάλαι πηγὴν
ἀναβλύσαι πεποίηκας
εἰς Κυρίου αἴνεσιν
καὶ ψυχῶν περιποίησιν·
βυθοῦ θαλάσσης πλωτῆρας ἔσωσας,
ἀκρίδος βλάβην εὐχαῖς ἀνέστειλας,
θαύματα ἄπειρα
ἐκτελεῖς ἑκάστοτε
ὑπὲρ ἡμῶν,
τῶν ἀνευφημούντων σε,
Χριστῷ δεόμενος.

In vv. **134-145** FFaFbKGbSaDGcGdNNaPdDaIKaScSdLa hoc sticheron tradit:

*Ἦχος πλ. δʹ. Ὢ τοῦ παραδόξου θαύματος*

Ὁμολογίας ὑπόδειγμα,
ἀρχιερέων κρηπὶς
καὶ θεόπνευστον ὄργανον,
μελῳδῆσαν δόγματα
εὐσεβείας ἀνάπλεα,
σοφίας οἶκος, ἀγάπης πέλαγος,
τῆς συμπαθείας ῥεῖθρον ἀείρροον,
κρήνη προχέουσα
πόμα κατανύξεως
καὶ εὐανθὴς
ἔνδοξε παράδεισος
σὺ εἶ, Μεθόδιε.

---

**82** χ(ριστ)οῦ B – **83** ὑ[πόδει]γμα lac. Gd – **85** θεόπ[νευσ]τον lac. Gd – **87** εὐσεβείας ἀνάπλεα om. Sa

In vv. **110-145** PPa hoc stichera trad.:

*Ἦχ(ος) πλ. δʹ. Πρὸς Τί ὑμᾶς καλέσωμεν ἅγιοι*

Ἔχων πολιτείαν ἰσάγγελον
ἀποχῇ τῶν ἡδονῶν
σκεῦος ἐδείχθης τοῦ Χριστοῦ·
διὰ τοῦτό σε, σοφέ,
ἀρχιερέα τοῦ λαοῦ
καὶ στύλον καὶ ἑδραίωμα τῆς πίστεως
τοῦ κόσμου προνοούμενος ὁ Κύριος,
Μεθόδιε παμμακάριστε,
ὀρθοδοξίας ὑπέρμαχε,
ἱκέτ(ευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν).

Θείας πεπλησμένος συνέσεως
ποίμνης ὤφθης λογικῆς
ταύτην ἐκτρέφων εὐσεβῶς
ἐπὶ χλόην ἀληθῶς
δογμάτων πάνσοφε ποιμήν·
διό σου τὴν ἁγίαν νῦν πανήγυριν
γεραίρει τὸν δοξάσαντά σε Κύριον,
μεγαλοφώνως δοξάζουσα,
Μεθόδιε παμμακάριστε,
ποιμαίνοντά σου τὴν ποίμνην, ἱερώτατε.

Θαύμασιν ὁ Θεός σε ἐδόξασεν,
ὁ δοξάζων τοὺς αὐτὸν
πόθῳ δοξάζοντας ἀεί·
ἐν καιρῷ γὰρ τῆς σεπτῆς
καὶ θείας μνήμης σου, σοφέ,
ὁρᾶται βότρυς πέπυρος γενόμενος
ὑμνούντων τὸ παράδοξον μυστήριον
ἐξ οὗ οἱ πίστει μετέχοντες
ἁγιασμὸν καὶ ὠφέλειαν
ἐκδέχονται ἐπαξίως σε γεραίροντες.

---

**95-124** Inc. ed. in EfstrTam, 50 (1951) 326 (ex cod. P) – **101** πληρωμένος P – **105** Θαύμασι θ(εό)ς Pa – **117** πόθῳ om. P – **120** ὁρᾶτε P : ὡρᾶτε Pa – **122** ἐξ οὗ Pa : ἐκ σοῦ P – **124** εἰσδέχονται Pa

In vv. **444-449** W hoc theotokion tradit:

Παρθένε, ἡ Θεὸν σεσαρκωμένον
ἀρρήτως κυήσασα
καὶ πάλιν ἀνερμηνεύτως
ὡς πρὸ τόκου παρθένος καθαρὰ
μείνασα, σὲ ὑμνοῦμεν
ὡς σωτηρίαν τοῦ γένους ἡμῶν.

Post odem 9 FFaFbKGbSaDGcGdNNaPdDaIScKaSdLa hoc exaposteilarion tradit:

*<Ἦχος β′. Τῶν μαθητῶν>*

Δεῦτε πιστῶς ὑμνοῦμεν τὴν θείαν μνήμην
τοῦ ἱεράρχου σήμερον Μεθοδίου,
λάκκῳ κατωτάτῳ τε βεβλημένος
ἵνα ψυχὰς λυτρώσηται
συγκεχωσμένας ἐν σκότει
τῆς πονηρᾶς ἀσεβείας.

---

**131** ὑμνῶμεν F – ὑμνήσωμεν θείαν Gc – τε : σὲ Sc – **135** συγκεχωσμένος FFa

## Appendix VI
## In ss. mm. Manuelem, Savelem and Ismaelem
## (cf. Textum 17, vv. 1-11, 23-97, 116-319)

Post Odem 3 Pb et post odem 6 O hoc *kathisma* tradit:

*Ἦχος πλ. δ'. Πρὸς τὸ Τὴν Σοφίαν καὶ Λόγον*

Ἐκ Περσίδος φωστῆρες φωτοειδεῖς
ἀνατείλαντες πᾶσαν ὡς ἀληθῶς,
τὴν κτίσιν φωτίζετε
εὐσεβείας λαμπρότησιν,
ἀθεΐας σκότος
διώκοντες, μάρτυρες,
καὶ παθῶν τα νέφη
σκεδάζοντες χάριτι·
ὅθεν τὴν φωσφόρον
καὶ σεπτὴν ὑμῶν μνήμην
Χριστὸν μεγαλύνομεν
τὸν ὑμᾶς μεγαλύναντα
καὶ συμφώνως κραυγάζομεν·
«πρεσβεύσατε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην ἡμῶν».

Post vv. **92-103** SO hoc sticheron tradit:

*Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος*

Αἵμασιν ὑμῶν ἐβάψατε
μαρτυρικοῖς ἑαυτοῖς
πορφυρίδα, μακάριοι,
ἥνπερ στολισάμενοι

---

**1-17** Incipit ed. in EfstrTam, 50 (1951) 333 (ex codd. Pb; G) – **1** φωστῆρες O : ἀστέρες Pb – **7** νέφ[η] O – σκεδάζωντες Pb – **9** τὴν φωσφ[ό]ρω<ν> O : τῇ φωτοφόρῳ Pb – (Χριστῷ - ἡμῶν) O – (ἄφεσιν - ἡμῶν) Pb

καὶ ὡς σκῆπτρον κατέχοντες
σταυρὸν τὸν θεῖον, σὺν Χριστῷ βασιλεύετε
τῷ κατὰ φύσιν
ἀληθῶς βασιλεύοντι,
ἅγιοι μάρτυρες·
τοῦτον ἱκετεύσατε διαπαντὸς
σῶσαι τὰς ψυχὰς ἡμῶν
τῶν εὐφημούντων ὑμᾶς.

Post sticheron Αἵμασιν ὑμῶν ἐβάψατε… in O hoc theotokion tradit:

[…]ληφαν παρὰ Θεοῦ
οἱ ἔνδοξοι μάρτυρες
τὸ πυρσολάτρειν ἐάσαντες
+..+πῶντες καὶ τὴν Χαλδαίων χθόνα
τῷ [σ]ῷ φωτὶ κατηυγάσθησαν,
θωρακισθέντες δὲ ὅπλοις τῆς πίστεως
ᾔσχυναν Ἰουλιανὸν τ[ὸν] τύραννον,
Μανου[ὴ]λ ὁ ἔνδοξος καὶ Σα[βὲλ ὁ ἀ]είμνηστος
καὶ Ἰσμαὴλ ὁ τρισόλβιος,
σὺν Πατρὶ καὶ Πνεύματι ὑμνοῦντές σε,
πρεσβεύουσαν τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

In vv. **92-103** Pb hoc stichera trad.:

*Στιχηρὰ προσόμοια.*
*Ἦχος δ'. Πρὸς Ὡς γενναῖον ἐν μάρτυσι.*

Ταῖς αὐγαῖς ταῖς τοῦ Πνεύματος
ἐμπλησθεὶς θείας γνώσεως,
Μανουήλ, ἐξήλεγξας τὴν ψευδώνυμον
σοφίαν λόγοις καὶ πράγμασι
καὶ τὰ νικητήρια
τοῖς δοξάζουσι Χριστὸν

---

**23** συμβασιλεύετε Χριστῷ O – **24** κατὰ φύσιν : φύσει S – **38** εισμαὴλ O – **40** ἡ(μῶν) O – **41-84** inc. stich. ed in EfstrTam, 50 (1951) 331 (cod. Paris. gr. 1566, f. 142r)

ὑπεράγαθον δέδωκας,
ὃν ἱκέτευε
ἐκ φθορᾶς καὶ κινδύνων (λυτρωθῆναι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου).

*Ὅμοιον.*

Ἐν σκηναῖς αὐλιζόμενοι
οὐρανίαις ἀοίδιμοι
ἀθλοφόροι Κυρίου, Μανουὴλ
σὺν Σαβὲλ καὶ Ἰσμαήλ, ἱκετεύσατε
Χριστὸν τὸν Θεὸν ἡμῶν
ὑπὲρ τῶν εἰλικρινῶς
εὐφημούντων τὰ ἆθλα ὑμῶν
καὶ πρεσβεύσατε
ἐκ φθορᾶς καὶ κινδύνων (λυτρωθῆναι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου).

*Ὅμοιον.*

63-73 Μανουὴλ ὁ θαυμάσιος …………………………………….. (=Text 17, vv. 58-68).

*Ὅμοιον.*

74-84 Βασιλέα παράνομον ……………………………………….. (=Text 17, vv. 69-79).

---

**55** ἐξήλγεγξας Pb

## Appendix VII
## In s. Hypatium abbatum monasterii Ruphiniani
## (cf. Textum 17, vv. 12-22, 98-115, 320-592)

In vv. **12-22** Ia hoc kathisma tradit :

*Κάθισμα.*
*Ἦχος δ′. Πρὸς τὸ Ταχὺ προκατάλαβε*

Ἀσκήσει ἐμάρανας
τὰς τῆς σαρκὸς ἡδονὰς
καὶ σάρκα ἐλάμπρυνας
δι᾽ ἐγκρατείας πολλῆς,
Ὑπάτιε ὅσιε,
πᾶσαν τοῦ διαβόλου
τὴν ἰσχὺν καταλύσας·
ὅθεν καὶ μετὰ τέλος
εἰληφὼς τοὺς στεφάνους,
πηγάζεις τοῖς αἰτοῦσιν ὡς ζῶντας
τῶν θαυμάτων πηγάς.

In vv. **104-130** Ia hoc stich. trad.:

*Ἕτερα προσόμοια.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε (νεκρὸν)*

Ὄρθρος ἐξανέτειλας ἡμῖν
ταῖς τῶν ἀρετῶν φρυκτωρίαις
φωταγωγῶν τοὺς πιστούς,
κλίμαξ πρὸς οὐράνιον
χειραγωγοῦσα ζωήν,
ἱερὸν ἀπεικόνισμα,
πραότητος τρόπος,
ὕψος ταπεινώσεως,
λιμὴν ἀχείμαστος,
στύλος καὶ ἑδραίωμα, πάτερ·
ὅθεν σου τὴν ἔνδοξον μνήμην
πίστει ἑορτάζομεν, Ὑπάτιε.

---

**2** τὰ Ia – **4** πολλοῖς Ia

Νέφος διαβὰς τὸ τῆς σαρκός,
φέγγος πρὸς ἀνέσπερον χαίρων
νῦν κατεσκήνωσας,
θρόνῳ παριστάμενος
τοῦ παντοκράτορος
καὶ ταῖς θείαις λαμπρότησι
καὶ φωτοχυσίαις
περιαυγαζόμενος
φῶς ἐχρηματίσας·
ὅθεν δυσωποῦμέν σε, πάτερ,
φώτισον ἡμῶν τὰς καρδίας
τῶν εὐφημούντων σε, Ὑπάτιε.

Χάρις ἡ τοῦ Πνεύματος ἐν σοὶ
ὡς καθαρωτάτῳ καὶ πράῳ
κατασκηνώσασα,
πάσαις κατεκόσμησεν
ἀρετῆς εἴδεσι
καὶ ποικίλοις χαρίσμασιν
ἐλάμπρυνε, πάτερ,
ὅθεν καὶ γεώργιον
Χριστοῦ πανέντιμον
ὤφθης, γεωργίᾳ ἐκφρόνως
αὔλακας τοὺς τῆς διανοίας,
ἀξιομακάριστε Ὑπάτιε.

Post odem 9 Ia hoc exaposteilarion tradit:

*<Ἦχος γ΄.> Ὁ οὐρανὸν τοῖς ἄστροις*

Ἐν ἱεράρχαις αὐγάζεις
ὡς ἥλιος ἐν ἡμέρᾳ
καὶ ἐν ὁσίοις ἐκλάμπεις
ὥσπερ ἐν ἄστροις σελήνη·
διὸ τὴν σὴν εὐφημοῦμεν
κοίμησιν, Τύχων,
τῆς Ἀμαθοῦντος τὸ κλέος.

## Appendix VIII
## In ss. mm. Innam, Pinnam et Rimmam
## (cf. Textum 20, vv. 1-11, 21-56, 75-288)

Post vv. **1-11** H et ante vv. **1-11** Ia (post odem 3) hoc kathisma add.:

*Ἕτερον (κάθισμα).*
*Ἦχος δ΄. Ἐπεφάνης σήμερον*

Ὥσπερ πύργος τρίγωνος
ἀναφανέντες,
τείχη κατεστρέψατε
τῆς ἀσεβείας πονηρὰ
καὶ τοὺς πιστοὺς ἐστηρίξατε,
μάρτυρες, σέβειν
Τριάδα ἀχώριστον.

## Appendix IX
## In s. Iulianum Anazarbenum martyrem in Cilicia
## (cf. Textum 21)

Post vv. 94-105 H hoc sticheron add.:

*Ἄλλον. Ἦχος πλ. β′. Πρὸς τὸ Ὅλην ἀποθέμενοι*

**Τ**ὸν φύσει φιλάνθρωπον
καὶ λυτρωτὴν ἱκετεύων
ὑπὲρ οὗ τὸ αἷμα σου
εὐσεβῶς ἐξέχεας
ἀναιρούμενος
πειρασμῶν λύτρωσαι
καὶ φθορᾶς με σῶσον
ἁμαρτίας τῆς πρὸς θάνατον
καὶ κατευόδωσον
τὰ κατὰ Θεὸν διαβήματα
καὶ πάθη τὰ τοῦ σώματος
καὶ τὰ τῆς ψυχῆς ἀρρωστήματα
ἴασαι, παμμάκαρ,
τὴν ἄφατον χρηστότητα Θεοῦ
καὶ τὸ αὐτοῦ μέγα ἔλεος,
Ἰουλιανέ, μιμούμενος.

Post stichera Ia hoc doxastikon add.:

*Εἰς τ(ὸν) στίχ(ον). Τῆς η′ ἤχου.*
*Δο(ξαστικ)ον ἦχ(ος) πλ. β′.*

Δεῦτε, φιλομάρτυρες,
τὸν τοῦ Χριστοῦ στρατιώτην
καὶ τοῦ Παύλου συμπολίτην
καὶ συμμύστην ἀναδειχθέντα

---

**17-33** incipit ed. in *StichVindob*, 165; Troels, 16 (nr. 594); EfstrTam, 50 (1951) 345 (ex codd. P, f. 124r; Pb, f. 154v; Pd, f. 149v; Paris. gr. 1576, f. 66r; Athon. Laurae Γ71, f. 141r; Athon. Laurae Γ86, f. 129v; Athon. Laurae Ε16, f. 37r; Athon. Laurae Δ42; Athon. Laurae Θ43, G; Gc; Ge; Athon. Vatop. 1493, f. 146r; Athon. Vatop. 1499, f. 171r)

κατάλληλον τὸν δρόμον διανύσαντα
εὐσεβῶς δοξολογήσωμεν,
Ἰουλιανὸν τὸν ἀοίδιμον·
τοῖς γὰρ ὕδασιν ἐπιβὰς σὺν ἰοβόλοις θηρσί,
τὴν τοῦ δράκοντος κάραν συνέτριψε
καὶ τοῖς αἵμασι τὴν γῆν
καὶ πορείαις τὴν θάλασσαν ἁγιάσας,
ἐκ τῶν ἐνθένδε μετέβη
πρὸς αἰωνίους σκηνὰς
καὶ παντοκρατορικῇ χειρὶ
τῶν ἀγώνων ἔπαθλα δεχόμενος,
αἰτεῖται ἱλασμὸν τῶν ψυχῶν
καὶ τὸ μέγα ἔλεος.

Post vv. **118-123** HIa hoc troparion add.:

**Ἔ**σβεσας πυρὰν εἰδωλικὴν
ταῖς ἱεραῖς τῶν αἱμάτων προσχύσεσι
τὸ τῆς ἐκκλησίας δὲ πανευκλεῶς,
μάρτυς θεόφρον, πλήρωμα
ἤρδευσας πλουσίως·
διό σε πίστει γεραίρομεν.

---

**21** και καταλληλων Wa – **24** τω γαρ υδατι Wa – **28** εντευθεν Wa – **33** τὸ om. Wa